ἐπεῖδε τὴν μάχην ἄγνωστον ἀνθρώποις τὸν ἔμπροσθεν
looked-on the battle unknown to-men the former
χρόνον· ταῦτα τὴν παλαιὰν ἀλαζονείαν ἤλεγξε τῶν
time these-things the ancient boastfulness refuted of-the
Μήδων τῦφον ὄντα κενόν· ταῦτα τῆς Ξέρξου παρασκευῆς
Medes conceit being empty these-things of-the Xerxes' preparation

ἀπιστουμένης τέως τὸ μέγεθος, εἰ τοσαύτη γενομένη τέλος
being-disbelieved till-then the greatness if so-great having-been end
ἔσχεν αἰσχρὸν καὶ ἐπονείδιστον, ἐναργέστερον τῶν
had shameful and disgraceful more-clearly than-the-things
δοκούντων εἶναι γνωρίμων ἡμῖν κατέστησεν. ὁ μὲν
seeming to-be known to-us rendered he indeed
ἐπειρᾶτο πλεῖν καὶ πεζεύειν ἀπεναντίον τῇ φύσει
tried to-sail and to-march-on-foot oppositely to-the nature
μαχόμενος καί, ὥσπερ οὖν ᾤετο, κρατῶν ἠπείρου φύσεως
fighting and as then he-thought mastering of-mainland nature
καὶ θαλάττης ἀνδρὸς Ἕλληνος ἡττᾶτο σοφίας καὶ ῥώμης
and sea of-man Greek was-defeated by-wisdom and strength
στρατιωτῶν οὐ τρυφᾶν μεμελετηκότων οὐδὲ δουλεύειν,
of-soldiers not to-live-luxuriously having-practiced nor to-be-slaves
ἀλλ᾽ ἐλευθέρως ἄρχεσθαι καὶ πονεῖν εἰδότων.
but freely to-be-ruled and to-toil knowing
ὁ δὲ ταῖς παρασκευαῖς ἐκείνου καταδεέστερος, ἔμπληκτος
he but in-the preparations than-his more-deficient frenzied
δὲ μᾶλλον καὶ τῇ μανίᾳ τοὺς Ἀλωάδας ὑπερβαλλόμενος
but more and in-the madness the Aloadae surpassing
μόνον οὐχὶ τὸ πλησίον ὄρος ἐγνωκὼς ἀμφικαλύψαι τῇ
only not the near mountain having-resolved to-cover-over over-the
πόλει, ἐπαφιεὶς δὲ ποταμῶν ῥεύματα καὶ τὰ τείχη διαλύσας
city letting-loose but of-rivers streams and the walls having-dissolved
οὐδὲ ἀτειχίστου τῆς πόλεως περιγενόμενος ἔσχεν ἐφ᾽ ὅτῳ
not-even of-the-unwalled the city having-prevailed had at which
σεμνύνηται, καθάπερ ὁ Ξέρξης ταῖς Ἀθήναις ἐμβαλὼν
he-might-pride-himself as — Xerxes — on-Athens having-hurled
τὴν φλόγα. ἐπανῆει δὲ τεττάρων μηνῶν ἀναλώσας χρόνον
the flame he-returned but four months having-spent time
μυριάσι πολλαῖς ἧττον ἀπάγων τὸ στράτευμα, καὶ τὴν
by-ten-thousands many fewer leading-away the army and the

ἡσυχίαν ἠγάπησεν ὁ πρόσθεν ἀφόρητος δοκῶν, τὴν
quiet was-content-with the(-one) formerly unbearable seeming the
σὴν ἀσχολίαν καὶ τὴν τῶν παρ᾽ ἡμῖν πραγμάτων ταραχὴν
your engagement and the of-the among us affairs disturbance
ὥσπερ ἔρυμα τῆς αὑτοῦ προβαλλόμενος σωτηρίας.
like bulwark of-the his-own putting-forward safety
Ταῦτα καταλιπὼν ἐπὶ τῆς Ἀσίας τρόπαια καὶ νίκας, ἐπὶ
these-things having-left in — Asia trophies and victories to
τὴν Εὐρώπην ἀκμῆτας ἦγες τὸ στράτευμα, τὴν οἰκουμένην
— Europe unwearied you-led the army the inhabited-world
ἅπασαν ἐμπλῆσαι τροπαίων ἐγνωκώς.
all to-fill with-trophies having-resolved
ἐμοὶ δὲ ἀρκεῖ τὰ πρόσθεν ῥηθέντα, εἰ καὶ μηδὲν ἔτι περὶ 23
to-me but suffice the-things before said if even nothing more about
σοῦ λέγειν εἶχον σεμνότερον, πρὸς τὸ πάντων ἀποφῆναί
you to-say I-had more-august for the all to-show
σε τῶν ἔμπροσθεν τῆς αὐτῆς σοι μετασχόντων τύχης
you of-those before the same with-you having-shared fortune
συνέσει καὶ ῥώμῃ κρατοῦντα. τὸ γὰρ ἀπαθῶς ὥσασθαι
in-intelligence and strength prevailing the for without-loss to-repel
μὲν τὴν Περσῶν δύναμιν, οὐ πόλιν οὐδὲ φρούριον, ἀλλ᾽
indeed the of-Persians force not city nor fort but
οὐδὲ στρατιώτην τῶν ἐκ καταλόγου προέμενον, πολιορκίᾳ
not-even soldier of-those from the-roll having-given-up to-siege
δὲ τέλος ἐπιθεῖναι λαμπρὸν καὶ οἷον οὔπω πρόσθεν
but end to-put brilliant and such-as never before
ἠκούσαμεν, τίνι χρὴ τῶν ἔμπροσθεν παραβαλεῖν ἔργων;
we-heard to-what is-it-needful of-the former to-compare deeds
περιβόητος γέγονεν ἡ Καρχηδονίων ἐν τοῖς δεινοῖς τόλμα,
famous has-become the of-Carthaginians in the dangers daring
ἀλλ᾽ ἐτελεύτησεν εἰς συμφοράς· λαμπρὰ τὰ περὶ τὴν
but it-ended in disasters brilliant the-things about the

Πλαταιέων πολιορκίαν γενόμενα, ἐχρήσαντο δὲ οἱ δείλαιοι
of-Plataeans siege having-happened experienced but the wretched
γνωριμώτερον τοῖς δυστυχήμασι. τί χρὴ Μεσσήνης
more-notably the misfortunes why is-it-needful Messene
καὶ Πύλου μεμνῆσθαι, οὔτε ἀγωνισαμένων καρτερῶς οὔτε
and Pylos to-mention neither having-contended stoutly nor
ἁλόντων ξὺν βίᾳ; Συρακούσιοι δὲ τὸν σοφὸν ἐκεῖνον
captured with force Syracusans and the wise that-one
ἀντιτάξαντες ταῖς παρασκευαῖς τῆς ἡμετέρας πόλεως καὶ
having-set-against the preparations of-the our city and
τῷ καλῷ κἀγαθῷ στρατηγῷ τί πλέον ὤναντο; οὐχ
the noble and-good general what more did-they-profit not
ἑάλωσαν μὲν τῶν ἄλλων αἴσχιον, ἐσώζοντο δὲ
they-were-captured indeed than-the others more-shamefully they-were-saved but
καλὸν ὑπόμνημα τῆς τῶν ἑλόντων πραότητος;
fine memorial of-the of-those having-captured gentleness
Ἀλλ' εἰ πάσας ἐξαριθμεῖσθαι τὰς πόλεις βουλοίμην, αἳ
but if all to-enumerate the cities I-should-wish which
πρὸς τὰς ὑποδεεστέρας οὐ κατήρκεσαν παρασκευάς, πόσας
against the inferior not held-out preparations how-many
οἴει μοι βίβλους ἀρκέσειν; τῆς Ῥώμης δὲ ἴσως
do-you-think for-me books to-be-going-to-suffice — of-Rome but perhaps
ἄξιον μνησθῆναι πάλαι ποτὲ χρησαμένης τύχῃ τοιαύτῃ,
worthy to-make-mention-of long-ago once having-met-with fortune such
Γαλατῶν οἶμαι καὶ Κελτῶν ἐς ταὐτὸ πνευσάντων καὶ
of-Gauls I-think and Celts into the-same having-blown and
φερομένων ἐπ' αὐτὴν καθάπερ χειμάρρους ἐξαίφνης.
rushing against it like torrent suddenly
κατέλαβον μὲν γὰρ τὸν λόφον ἐκεῖνον, οὗ τὸ τοῦ Διὸς
they-seized indeed for the hill that where the — of-Zeus
ἀφίδρυται βρέτας· γέρροις δὲ καί τισι τοιούτοις
is-set-up image with-wicker-shields but and with-some such

οἱονεὶ τείχει φραξάμενοι, πολυπραγμονούντων οὐδὲν
as-it-were with-wall having-fenced-themselves busying-themselves-with nothing
προσιέναι τῶν πολεμίων βίᾳ τολμώντων, ἐκράτησαν.
to-approach of-the enemies by-force daring they-prevailed
Ταύτῃ παραβαλεῖν ἄξιον τῇ πολιορκίᾳ τὴν ἔναγχος τῷ τέλει
with-this to-compare worthy the siege the recent in-the end
τῆς τύχης, ἐπεὶ τοῖς γε ἔργοις οὐδεμιᾷ τῶν ὅσαι πάλαι
of-the fortune since in-the indeed deeds with-none of-those as-many-as long-ago
γεγόνασι. τίς γὰρ ἔγνω κυκλουμένην μὲν ὕδασι πόλιν,
have-happened who for knew being-encircled indeed with-waters city
λόφοις δὲ ἔξωθεν καθάπερ δικτύοις περιβληθεῖσαν, καὶ
with-hills but from-outside as with-nets surrounded and
ποταμὸν ἐπαφιέμενον οἱονεὶ μηχάνημα, συνεχῶς ῥέοντα καὶ
river being-let-loose as-it-were engine continually flowing and
προσρηγνύμενον τοῖς τείχεσι, τάς τε ὑπὲρ τῶν ὑδάτων
dashing against-the walls the both over the waters
μάχας καὶ ὅσαι περὶ τῷ τείχει κατενεχθέντι γεγόνασιν;
battles and as-many-as about the wall having-fallen have-happened
ἐμοὶ μὲν οὖν, ὅπερ ἔφην, ἀπόχρη καὶ ταῦτα· τὰ 24
to-me indeed then which-very I-said suffice also these-things the-things
λειπόμενα δέ ἐστι μακρῷ σεμνότερα. καὶ τυχὸν οὐδαμῶς
remaining but are by-far more-august and perhaps in-no-way
εὔλογον ἅπαξ ἑλόμενον ἁπάντων ἐς δύναμιν μνησθῆναι
reasonable once having-chosen of-all as-far-as power to-make-mention
τῶν σοι πραχθέντων, ἀκμαζουσῶν ἔτι τῶν πράξεων,
of-the-things by-you done flourishing still the deeds
ἀφεῖναι τὴν διήγησιν. ὅσα μὲν οὖν ἔτι τοῖς ἔργοις
to-abandon the narrative as-many-as indeed then still to-the deeds
προσκαθήμενος, ὧν μικρῷ πρόσθεν ἐμνήσθην, περὶ τὴν
attending of-which little before I-made-mention about —
Εὐρώπην διῴκησας, πρεσβείας πέμπων καὶ ἀναλίσκων
Europe you-managed embassies sending and spending

χρήματα καὶ στρατόπεδα τὰ προσκαθήμενα τοῖς Σκύθαις
money and camps the attending-on the Scythians
ἐν Παιονίᾳ ἐκπέμπων, τοῦ μὴ κρατηθῆναι τὸν πρεσβύτην
in Paeonia sending-out of-the not to-be-overpowered the old-man
ὑπὸ τοῦ τυράννου προνοῶν, πῶς ἄν τις ἐν βραχεῖ
by the tyrant taking-forethought how — anyone in short
λόγῳ παραστῆσαι δύναιτο καὶ πάνυ σπουδάζων;
speech to-present could even very being-eager
Ἐπεὶ δέ, ἤδη σου πρὸς τὸν πόλεμον ὡρμημένου, οὐκ οἶδα
when but already you for the war having-set-out not I-know
παρ᾽ ὅτου δαιμόνων ἐξαιρεθεὶς τὸν νοῦν καὶ τὰς φρένας
by which of-deities having-been-deprived-of the mind and the wits
ὁ τέως πιστὸς μενεῖν φύλαξ ἐπαγγελλόμενος
the(-one) till-then faithful to-be-going-to-remain guard professing
καὶ χρήμασι καὶ στρατοπέδοις καὶ τοῖς ἄλλοις ἅπασιν
and by-money and camps and the others all
ὑπὸ σοῦ περισωζόμενος εἰρήνην ὡμολόγησε τῷ πάντων
by you being-preserved peace agreed with-the of-all
ἀνθρώπων ἀνοσιωτάτῳ καὶ πολεμίῳ κοινῇ μὲν ἁπάντων,
men most-impious and enemy in-common indeed of-all
ὁπόσοις εἰρήνης μέλει καὶ τὴν ὁμόνοιαν ἐκ παντὸς
for-as-many-as peace is-a-care and the concord from every-way
στέργουσιν, ἰδίᾳ δὲ σοὶ καὶ πλέον τῶν ἄλλων· οὔτε
cherish privately but to-you even more than-the others neither
ἔδεισας τῆς παρασκευῆς τὸ μέγεθος οὔτε ἀπίστων ἀνδρῶν
you-feared of-the preparation the greatness nor of-faithless men
ξυμμαχίαν πλέον ἔχειν ὑπέλαβες τῆς ἔμφρονος γνώμης.
alliance more to-avail you-supposed than-the sensible judgment
ἐγκαλῶν δέ, ὡς εἰκός, τῷ μὲν ἀπιστίαν, τῷ δὲ πρὸς
charging but as likely the(-one) indeed with-faithlessness the(-other) but besides
ταύτῃ πράξεων ἐναγῶν καὶ παρανόμων τολμήματα, τὸν
this of-deeds accursed and lawless daring-acts the(-one)

μὲν εἰς δίκην καὶ κρίσιν ἐπὶ τῶν στρατοπέδων προυκάλεις,
indeed to trial and judgment before the camps you-summoned
τοῦ δὲ κριτὴν ὑπελάμβανες εἶναι τὸν πόλεμον.
of-the(-other) but judge you-supposed to-be the war

VIII · THE GENERAL DEPOSED

The old general met Constantius with his army, meaning to force him back if persuasion failed. Constantius chose persuasion and mounted the tribunal beside him before the armed soldiers. As he spoke there was silence, then tears and applause; at last the soldiers called him sole emperor and demanded the old man's insignia, and the old man reluctantly took off the purple. In one day, without a blow, Constantius won nations, armies, and money, treated the old man better than Cyrus treated his grandfather, and kept the honors of the old man's followers. No orator matched this, nor Darius' sons settling their quarrel by law. Then came a sacred war against the tyrant, a slave of German birth who had killed his master, corrupted the army, seized half of men's property, and set slaves to inform.

ἀλλ' ἐπειδὴ πρῶτον ὁ καλὸς καὶ συνετὸς ἀπήντα πρεσβύτης, 25
but when first the fine and intelligent met-you old-man
εὐχερέστερον παιδαρίου τινὸς μετατιθέμενος τὰ δόξαντα
more-readily than-little-boy some changing the-things resolved
καὶ ὧν εὖ πάθοι δεόμενος μετὰ τὴν χρείαν ἐπιλήσμων·
and of-what well he-had-fared needing after the need forgetful
παρῆν δὲ ἄγων ὁπλιτῶν φάλαγγας καὶ τάξεις ἱππέων,
was-present and leading of-hoplites phalanxes and ranks of-horsemen
ὡς, εἰ μὴ πείθοι, βιασόμενός σε ὀπίσω πάλιν ἀπιέναι
as if not he-should-persuade going-to-force you back again to-go-away
τὴν αὐτὴν ἄπρακτον· οὐδὲν ἐκπλαγείς, ὅτι τὸν σύμμαχον
the same unaccomplished in-nothing dismayed that the ally
καὶ στρατηγὸν μενεῖν ἐπαγγελλόμενον πολέμιον
and general to-be-going-to-remain professing enemy

εἶδες ἐξ ἴσης ἄρχειν ἐθέλοντα, καίτοι τῷ πλήθει
you-saw on equal-terms to-rule wishing and-yet in-the multitude
τῶν στρατευμάτων ἐλαττούμενος, ἐπεὶ μὴ πάντες εἵποντο,
of-the armies being-inferior since not all followed
πρὸς πλήθει κρατοῦντα διαγωνίζεσθαι τολμηρὸν μὲν
against in-multitude superior to-contend daring indeed
ἴσως, σφαλερὸν δὲ πάντως ὑπολαβὼν καὶ κρατήσαντι
perhaps perilous but altogether supposing even for-one-having-prevailed
τῇ μάχῃ διὰ τὸν ἐφεδρεύοντα τοῖς καιροῖς καὶ τοῖς
in-the battle because-of the lying-in-wait for-the occasions and the
πράγμασιν ἄγριον τύραννον, ἐβουλεύσω καλῶς μόνον εἶναι
affairs savage tyrant you-planned well alone to-be
σὸν ἐθέλων τὸ κατόρθωμα, καὶ παρῄεις ἐπὶ τὸ βῆμα μετὰ
yours wishing the success and you-came-forward to the tribunal with
τοῦ τέως συνάρχοντος· συνῄει δὲ ὁπλίτης δῆμος στίλβων
the till-then colleague assembled and hoplite people gleaming
τοῖς ὅπλοις, τὰ ξίφη γυμνὰ καὶ τὰ δόρατα προτείνοντες,
with-the arms the swords naked and the spears holding-forth
δειλῷ μὲν φρικῶδες καὶ δεινὸν θέαμα, εὐψύχῳ δὲ
for-coward indeed awful and terrible sight for-stout-hearted but
καὶ θαρραλέῳ καὶ οἷος αὐτὸς γέγονας ὄφελος γενναῖον.
and bold and such-as yourself you-were benefit noble
οὐκοῦν ἐπειδὴ πρῶτον ἤρξω τῶν λόγων, σιγὴ μὲν ἐπέσχε,
therefore when first you-began the speeches silence indeed held
πρὸς τὴν ἀκοὴν ὡρμημένων πάντων, τὸ στράτευμα·
for the hearing being-eager all the army
δάκρυα δὲ προυχεῖτο πολλοῖς, καὶ ἐς τὸν οὐρανὸν τὰς
tears and were-poured-forth by-many and to the heaven the
χεῖρας ὤρεγον, σιγῇ καὶ ταῦτα δρῶντες, ὡς μήτις
hands they-stretched in-silence also these-things doing so-that not-anyone
αἴσθηται. τὴν εὔνοιαν δὲ οἱ μὲν ἐνεδείκνυντο καὶ διὰ
may-perceive the goodwill and the(-ones) indeed showed also through

τῆς ὄψεως, πάντες δὲ τῷ σφόδρα ὡρμῆσθαι τῶν λόγων
the face all but by-the greatly to-be-eager the speeches
ἀκούειν. ἀκμαζούσης δὲ τῆς δημηγορίας συνενθουσιῶντες τῷ
to-hear at-height and the harangue being-inspired-with the
λόγῳ πάντες ἐπεκρότουν, εἶτα αὖθις ἀκούειν ἐπιθυμοῦντες
speech all applauded then again to-hear desiring
ἡσύχαζον. τέλος δὲ ὑπὸ τῶν λόγων ἀναπειθόμενοι σὲ μόνον
kept-quiet finally and by the speeches being-persuaded you alone
ἐκάλουν βασιλέα, μόνον ἄρχειν ἠξίουν ἁπάντων, ἡγεῖσθαι
they-called king alone to-rule deemed-fit of-all to-lead
σφῶν ἐκέλευον ἐπὶ τὸν πολέμιον, ἀκολουθήσειν ὡμολόγουν,
them bade against the enemy to-be-going-to-follow agreed
ἀπολαμβάνειν ἠξίουν τῆς ἀρχῆς τὰ γνωρίσματα. σὺ δὲ
to-take-away deemed-fit of-the rule the tokens you but
οὐδὲ τὴν χεῖρα προσάγειν ᾤου δεῖν οὐδὲ ἀφελέσθαι
not-even the hand to-bring thought to-be-needful nor to-take-away
ξὺν βίᾳ· ὁ δὲ ἄκων μὲν καὶ μόλις, εἴξας δὲ ὅμως
with force he but unwilling indeed and hardly having-yielded but nevertheless
ὀψέ ποτε, φασί, τῇ Θετταλικῇ πειθανάγκῃ, προσῆγέ σοι
late at-last they-say to-the Thessalian persuasion-by-force brought to-you
περιελόμενος τὴν ἁλουργίδα.
having-taken-off the purple
οἷός τις ἐνταῦθα γέγονας τοσούτων μὲν ἐθνῶν καὶ 26
such-as some there you-became of-so-many indeed nations and
στρατοπέδων καὶ χρημάτων ἐν ἡμέρᾳ μιᾷ γεγονὼς
camps and money in day one having-become
κύριος, τὸν πολέμιον δέ, εἰ καὶ μὴ τοῖς ἔργοις, ἀλλὰ
lord the enemy but if even not in-the deeds but
τῇ γνώμῃ φανέντα, τὴν ἀρχὴν ἀφελόμενος καὶ τοῦ
in-the intention having-appeared the rule having-taken-away and the
σώματος κρατήσας;
body having-mastered

Ἆρ᾽ οὐ τούτῳ μὲν ἄμεινον καὶ δικαιότερον προσηνέχθης
then not to-this-one indeed better and more-justly you-behaved
ἢ Κῦρος τῷ πάππῳ, τοῖς περὶ αὐτὸν δὲ τὰς τιμὰς
than Cyrus to-the grandfather for-those about him and the honors
διεφύλαξας οὐδὲν οὐδενὸς ἀφελόμενος, προσθεὶς δὲ οἶμαι
you-preserved nothing from-anyone having-taken-away having-added but I-think
δωρεὰς πολλοῖς; τίς δέ σ᾽ εἶδεν ἢ πρὸ τοῦ κρατῆσαι
gifts to-many who and you saw either before the to-prevail
σκυθρωπὸν λίαν ἢ μετὰ τοῦθ᾽ ὑπερηδόμενον; καίτοι πῶς
sullen very or after this over-pleased and-yet how
ἄξιον ἐπαινεῖν ἐστί σε δημηγόρον ἅμα καὶ στρατηγὸν ἢ
worthy to-praise is-it you orator at-once and general or
βασιλέα χρηστὸν καὶ γενναῖον ὁπλίτην προσαγορεύοντας;
king good and noble hoplite calling
ὃς πάλαι μὲν ἀπορραγὲν τὸ στρατηγεῖον ἀπὸ τοῦ
who long-ago indeed having-been-torn-away the general's-tent from the
βήματος ἐς ταὐτὸν πάλιν ἐπαναγαγεῖν ἠξίωσας σχῆμα,
tribunal into the-same again to-bring-back deemed-fit fashion
μιμούμενος οἶμαι Ὀδυσσέα καὶ Νέστορα καὶ τοὺς ἐξελόντας
imitating I-think Odysseus and Nestor and the having-destroyed
Καρχηδόνα Ῥωμαίων στρατηγούς, οἳ φοβερωτέρους αὑτοὺς
Carthage of-Romans generals who more-fearful themselves
ἀπὸ τοῦ βήματος τοῖς ἀδικοῦσιν ἢ τοῖς πολεμίοις ἐπὶ τῆς
from the tribunal to-the wrongdoers than to-the enemies in the
παρατάξεως ἀεὶ κατέστησαν. Δημοσθένους δὲ καὶ ὅστις
battle-line always made of-Demosthenes and and whoever
τοῦτον ἐζήλωκε τὴν ἐν τοῖς λόγοις ἰσχὺν αἰδούμενος, τῷ
him has-emulated the in the speeches strength respecting in-the
τρόπῳ τῆς δημηγορίας οὔποτ᾽ ἂν ἀξιώσαιμι τῷ σῷ
manner of-the harangue never — I-would-deem-fit with-the yours
παραβαλεῖν τἀκείνων θέατρα. οὐ γὰρ ἐν τοῖς ὁπλίταις
to-compare their theaters not for among the hoplites

ἐδημηγόρουν οὐδὲ ὑπὲρ τοσούτων κινδυνεύοντες, ἀλλ᾽ ὑπὲρ
they-harangued nor for so-great being-in-danger but for
χρημάτων ἢ τιμῆς ἢ δόξης, ἢ φίλοις συνερεῖν
money or honor or glory or with-friends to-be-going-to-support
ἐπαγγειλάμενοι, ἀπῄεσαν οἶμαι πολλάκις ἀπὸ τοῦ βήματος,
having-promised they-went-away I-think often from the tribunal
τοῦ δήμου θορυβήσαντος, ὠχροὶ καὶ τρέμοντες, ὥσπερ οἱ
the people having-raised-an-uproar pale and trembling like the
δειλοὶ τῶν πολεμίων ἐν ὄψει στρατηγοὶ παραταττόμενοι.
cowardly of-the enemies in sight generals drawn-up
καὶ οὐδεὶς ἂν εἰπεῖν ἔχοι τοσοῦτον ἔργον ἑτέρῳ πραχθὲν
and no-one — to-say could so-great deed by-another done
πώποτε καὶ τοσούτων ἐθνῶν κτῆσιν ἐκ δικαστηρίου, ἄλλως
ever and of-so-many nations acquisition from law-court especially
τε καὶ πρὸς ἄνδρα τῆς δίκης οὔσης οὐχ, ὡς οἱ πολλοί
— and against man the trial being not as the many
φασιν, εὐκαταφρόνητον, ἀλλὰ πολλαῖς μὲν στρατείαις
say contemptible but in-many indeed campaigns
γνώριμον, πρεσβύτην δὲ ἤδη καὶ τὴν ἐμπειρίαν ἐκ τοῦ
known old-man but already and the experience from the
χρόνου δοκοῦντα προσειληφέναι καὶ τῶν στρατοπέδων
time seeming to-have-acquired and the armies
ἐκείνων ἄρχειν λαχόντα πολὺν ἤδη χρόνον. τίς οὖν
those to-command having-obtained-by-lot long already time what then
ἡ ῥώμη γέγονε τῶν λόγων; τίς δὲ ἡ πειθὼ τοῖς χείλεσιν
the strength became of-the words what and the persuasion on-the lips
ἐπικαθημένη, ἡ παντοδαπῶν ἀνθρώπων συνειλεγμένων
sitting the(-one) of-all-kinds-of men gathered
τὸ κέντρον ἐγκαταλιπεῖν ἰσχύσασα ταῖς ψυχαῖς, καὶ νίκην
the sting to-leave-behind having-prevailed in-the souls and victory
παρασχεῖν τῷ μεγέθει μὲν ἐνάμιλλον ταῖς ἐκ τῶν ὅπλων
to-provide in-the greatness indeed rivaling the from the arms

περιγινομέναις, εὐαγῆ δὲ καὶ καθαράν, ὥσπερ ἱερέως ἐς θεοῦ
won pure but and clean as of-priest to god's
φοιτῶντος, ἀλλ᾽ οὐ βασιλέως ἐς πόλεμον, ἔργον γενομένην;
going but not of-king to war work having-become
καίτοι γε μὴν ταύτης εἰκόνα τῆς πράξεως μακρῷ
and-yet indeed indeed of-this image of-the deed by-far
λειπομένην καὶ Πέρσαι θρυλοῦσι, τοὺς Δαρείου παῖδας τοῦ
falling-short also Persians tell the of-Darius sons the
πατρὸς τελευτήσαντος ὑπὲρ τῆς ἀρχῆς διαφερομένους δίκῃ
father having-died about the rule disputing to-justice
τὰ καθ᾽ αὑτοὺς καὶ οὐ τῇ τῶν ὅπλων ἐπιτρέψαι κρίσει.
the-things about themselves and not to-the of-the arms to-entrust judgment
σοὶ δὲ πρὸς μὲν τοὺς ἀδελφοὺς οὔτε ἐν τοῖς λόγοις οὔτε
to-you but toward indeed the brothers neither in the words nor
ἐν τοῖς ἔργοις ἀγὼν γέγονεν οὐδὲ εἷς· ἔχαιρες δὲ οἶμαι τῷ
in the deeds contest has-been not-even one you-rejoiced but I-think in-the
κοινὴν πρὸς ἐκείνους εἶναί σοι τὴν ἐπιμέλειαν μᾶλλον ἢ
common with them to-be for-you the care rather than
τῷ μόνος ἁπάντων γενέσθαι κύριος· πρὸς δὲ τὸν ἀσεβὲς
in-the alone of-all to-become lord toward but the(-one) impious
μὲν ἢ παράνομον οὐδὲν εἰργασμένον, ἄπιστον δὲ τῇ γνώμῃ
indeed or lawless nothing having-done faithless but in-the intention
φανέντα ἐν ἐλέγχοις, οἳ τὴν ἀπιστίαν ἐκείνου δείξουσι.
having-appeared in proofs which the faithlessness his will-show
27 Ταύτην ἐκδέχεται στρατεία λαμπρὰ τὴν δημηγορίαν καὶ
this succeeds campaign brilliant the harangue and
πόλεμος ἱερός, οὐχ ὑπὲρ ἱεροῦ χωρίου, ὁποῖον τὸν Φωκικὸν
war sacred not for sacred place such-as the Phocian
ἀκούομεν συστῆναι κατὰ τοὺς ἔμπροσθεν, ἀλλ᾽ ὑπὲρ τῶν
we-hear to-have-arisen among the former-men but for the
νόμων καὶ τῆς πολιτείας καὶ φόνου πολιτῶν μυρίων,
laws and the constitution and the-murder of-citizens countless

ὧν τοὺς μὲν ἀνῃρήκει, τοὺς δὲ ἐμέλλησε, τοὺς
of-whom the(-ones) indeed he-had-killed the(-others) and he-intended the(-others)
δὲ ἐπεχείρησε συλλαβεῖν, ὥσπερ οἶμαι δεδιὼς μή τις
and he-tried to-arrest as I-think fearing lest anyone
αὐτὸν πολίτην μοχθηρόν, ἀλλ᾽ οὐχὶ βάρβαρον ὑπολάβῃ
him citizen wicked but not barbarian should-suppose
φύσει. τὰ γὰρ εἰς τὴν σὴν οἰκίαν ἀδικήματα οὐδενὸς
by-nature the for against the your house wrongs than-none
ὄντα τῶν κοινῇ τολμηθέντων αὐτῷ φαυλότερα καὶ
being of-the-things in-common dared by-him meaner and
ἐλάττονος ἀξιοῦν ᾧου δεῖν φροντίδος· οὕτω
of-less to-deem-worthy you-thought to-be-needful care so
σοι τὰ κοινὰ πρὸ τῶν ἰδίων ἔδοξε καὶ δοκεῖ τίμια.
to-you the common-things before the private seemed and seem honored
Πότερον οὖν χρὴ τῶν ἀδικημάτων ἁπάντων μεμνῆσθαι
whether then is-it-needful the wrongs all to-mention
ὧν εἴς τε τὸ κοινὸν καὶ κατ᾽ ἰδίαν ἔδρασε, κτείνας
which against both the common and in private he-did having-killed
μὲν τὸν αὐτὸς αὑτοῦ δεσπότην· ἀνδράποδον γὰρ ἦν
indeed the himself his-own master slave for he-was
τῶν ἐκείνου προγόνων, τῆς ἀπὸ Γερμανῶν λείας λείψανον
of-the his ancestors of-the from Germans booty remnant
δυστυχὲς περισωζόμενον· ἄρχειν δὲ ἡμῶν ἐπιχειρῶν, ᾧ
unfortunate preserved to-rule and us attempting to-whom
μηδὲ ἐλευθέρῳ προσῆκον ἦν νομισθῆναι μὴ τοῦτο παρ᾽
not-even free befitting it-was to-be-thought not this from
ὑμῶν λαβόντι· καὶ ὡς τοὺς ἐπὶ τοῦ στρατοπέδου ξυνδῶν
you having-received and how those in the camp binding
καὶ ἀποκτιννὺς καὶ δουλεύων αἰσχρῶς τῷ πλήθει καὶ
and killing and slaving shamefully to-the multitude and
κολακεύων τὴν εὐταξίαν διέφθειρε· καὶ ὡς τοὺς καλοὺς
flattering the good-order he-destroyed and how the fine

ἐκείνους ἐτίθει νόμους, τὴν ἡμίσειαν εἰσφέρειν, θάνατον
those he-laid-down laws the half to-contribute death
ἀπειλῶν τοῖς ἀπειθοῦσι, μηνυτὰς δὲ εἶναι τὸν βουλόμενον
threatening to-those disobeying informers and to-be the(-one) wishing
τῶν οἰκετῶν· καὶ ὅπως ἠνάγκαζε τοὺς οὐδὲν δεομένους
of-the household-slaves and how he-compelled those nothing needing
τὰ βασιλικὰ κτήματα πρίασθαι; ἐπιλείψει με τἀκείνου
the royal possessions to-buy will-fail me his
διηγούμενον ὁ χρόνος ἀδικήματα καὶ τῆς τυραννίδος τῆς
narrating the time wrongs and of-the tyranny of-the
καταλαβούσης τὸ μέγεθος. ἀλλὰ τῆς παρασκευῆς τῆς ἐς τὸν
having-seized the greatness but of-the preparation of-the for the
πόλεμον, ἣν κατέβαλε μὲν ἐπὶ τοὺς βαρβάρους, ἐχρήσατο
war which he-laid-down indeed against the barbarians used
δὲ ἐφ' ἡμᾶς, τὴν ἰσχὺν τίς ἂν ἀξίως παραστήσειε;
but against us the strength who — worthily could-present

Celts and Gauls, long Roman soldiers, followed the tyrant by force, and Franks and Saxons eagerly, leaving the Rhine cities unguarded; every nation feared the storm. Elated by an ambush of the emperor's scouts, he left Italy's strongholds and advanced into Noricum and Paeonia. Constantius drew him into the plains before Mursa and routed him with his left wing, and the tyrant fled; his men fought on, but the cuirassiers and archers broke them and drove the rest into the river like cattle. Constantius' trophy surpassed his father's, and Julian describes the cataphracts' armor, which Constantius devised, fitted like a statue's. Winter let the tyrant escape; amnesty was proclaimed and exiles returned, while he hid his forces in the Italian mountains and idled in a luxurious city, trusting the mountains that wall Italy, though no bulwark holds against wisdom joined with courage.

Κελτοὶ καὶ Γαλάται, ἔθνη καὶ τοῖς πάλαι φανέντα 28
Celts and Gauls nations even to-those of-old having-appeared
δυσανταγώνιστα, πολλάκις μὲν ἐπιρρεύσαντα καθάπερ
hard-to-contend-with often indeed having-flooded-in like
χειμάρρους ἀνυπόστατος Ἰταλοῖς καὶ Ἰλλυριοῖς, ἤδη δὲ
torrent irresistible on-Italians and Illyrians already but
καὶ τῆς Ἀσίας ἁψάμενα τῷ κρατεῖν τοῖς ἐνόπλοις ἀγῶσιν,
even — Asia having-touched by-the to-prevail in-the armed contests
ἄκοντες ἡμῖν ὑπήκουσαν, ἔς τε τοὺς καταλόγους τῶν
unwilling to-us became-subject into both the rolls of-the
στρατευμάτων ἐγγράφονται καὶ τέλη παρέχονται λαμπρὰ
armies they-are-enrolled and units provide brilliant
παρὰ τῶν σῶν προγόνων καὶ πατρὸς κατειλεγμένα· εἰρήνης
by the your ancestors and father enlisted of-peace
δὲ μακρᾶς καὶ τῶν ἐκ ταύτης ἀγαθῶν ἀπολαύοντες,
and long and of-the from this goods enjoying
ἐπιδούσης αὐτοῖς τῆς χώρας πρὸς πλοῦτον καὶ εὐανδρίαν,
having-increased for-them the country toward wealth and abundance-of-men

καὶ ἀδελφοῖς τοῖς σοῖς στρατιώτας καταλέξαι πολλοὺς
also to-brothers the your soldiers to-enlist many
παρέσχοντο, τέλος δὲ τῷ τυράννῳ βίᾳ καὶ οὐ γνώμῃ
they-provided finally and with-the tyrant by-force and not by-intention
πανδημεὶ συνεστρατεύοντο. ἠκολούθουν δὲ αὐτῷ κατὰ τὸ
in-full-force campaigned-with followed and him according-to the
ξυγγενὲς ξύμμαχοι προθυμότατοι Φράγγοι καὶ Σάξονες, τῶν
kinship allies most-eager Franks and Saxons of-the
ὑπὲρ τὸν Ῥῆνον καὶ περὶ τὴν ἑσπερίαν θάλατταν ἐθνῶν
beyond — Rhine and about the western sea nations
τὰ μαχιμώτατα. καὶ πόλις πᾶσα καὶ φρούριον πρόσοικον
the most-warlike and city every and fort neighboring
Ῥήνῳ τῶν ἐνοικούντων φυλάκων ἐξερημωθέντα προδέδοτο
to-Rhine of-the dwelling-in guards emptied had-been-betrayed
μὲν ἀφύλακτα πάντα τοῖς βαρβάροις, ἐφ᾽ ἡμᾶς δὲ
indeed unguarded all-things to-the barbarians against us but
ἐξεπέμπετο παρεσκευασμένον λαμπρῶς τὸ στράτευμα· πᾶσα
was-sent-out prepared brilliantly the army every
δὲ ἐῴκει πόλις Γαλατικὴ στρατοπέδῳ παρασκευαζομένῳ
and resembled city Gallic camp being-prepared
πρὸς πόλεμον· καὶ πάντα ἦν ὅπλων καὶ παρασκευῆς
for war and all-things were of-arms and equipment
ἱππέων καὶ πεζῶν καὶ τοξοτῶν καὶ ἀκοντιστῶν πλήρη.
of-horsemen and foot-soldiers and archers and javelin-men full
συρρεόντων δὲ ἐς τὴν Ἰταλίαν ἁπανταχόθεν τῶν
streaming-together and into — Italy from-everywhere of-the
ἐκείνου ξυμμάχων καὶ τοῖς ἐνταῦθα πάλαι κατειλεγμένοις
his allies and with-the there long-ago enlisted
στρατιώταις ἐς ταὐτὸν ἐλθόντων, οὐδεὶς οὕτως ἐφάνη
soldiers into the-same having-come no-one so appeared
τολμηρός, ὃς οὐκ ἔδεισεν οὐδὲ ἐξεπλάγη τὸν ἐπιόντα
bold who not feared nor was-dismayed-at the approaching

χειμῶνα. σκηπτὸς ἐδόκει πᾶσιν ὁ φερόμενος ἀπὸ τῶν
storm thunderbolt seemed to-all the(-one) rushing from the
Ἄλπεων, σκηπτὸς ἀφόρητος ἔργῳ καὶ ἄρρητος λόγῳ.
Alps thunderbolt unbearable in-deed and unspeakable in-word
τοῦτον ἔδεισαν Ἰλλυριοὶ καὶ Παίονες καὶ Θρᾷκες καὶ Σκύθαι,
this feared Illyrians and Paeonians and Thracians and Scythians
τοῦτον οἱ τὴν Ἀσίαν οἰκοῦντες ἄνθρωποι ἐφ᾽ αὑτοὺς
this the(-ones) — Asia inhabiting men against themselves
ὡρμῆσθαι πάντως ὑπέλαβον, τούτῳ πολεμήσειν ἤδη περὶ
to-have-set-out altogether supposed with-this to-be-going-to-war already for
τῆς αὑτῶν καὶ Πέρσαι παρεσκευάζοντο. ὁ δὲ μικρὰ μὲν
the their-own even Persians were-preparing he but small indeed
ἐνόμιζεν εἶναι τὰ παρόντα καὶ πόνου οὐ πολὺν τῆς σῆς
thought to-be the present-things and toil not much of-the your
συνέσεως καὶ ῥώμης κρατῆσαι, τοὺς Ἰνδῶν δὲ ἐσκόπει
intelligence and strength to-overcome the of-Indians but he-considered
πλούτους καὶ Περσῶν τὴν πολυτέλειαν· τοσοῦτον αὐτῷ
wealth and of-Persians the extravagance so-much in-him
περιῆν ἀνοίας καὶ θράσους ἐκ μικροῦ παντελῶς περὶ
abounded of-folly and rashness from small wholly in-respect-of
τοὺς κατασκόπους πλεονεκτήματος, οὓς ἀφυλάκτους ὅλῃ
the scouts advantage whom unguarded with-whole
τῇ στρατιᾷ λοχήσας ἔκτεινεν. οὕτω τὸ πράττειν εὖ παρὰ
the army having-ambushed he-killed thus the to-fare well beyond
τὴν ἀξίαν ἀρχὴ πολλάκις γέγονε τοῖς ἀνοήτοις μειζόνων
the desert beginning often has-become to-the foolish of-greater
συμφορῶν. ἀρθεὶς γὰρ ὁ δείλαιος ὑπὸ τῆς εὐτυχίας ταύτης
disasters lifted for the wretched by the good-fortune this
μετέωρος κατέλιπε μὲν τὰ προκείμενα τῆς Ἰταλίας ἐρυμνὰ
aloft abandoned indeed the lying-before — of-Italy strong

χωρία, ἐς Νωρικοὺς δὲ καὶ Παίονας ἀφυλάκτως ᾔει, δεῖν
places to Norici but and Paeonians unguardedly went to-be-needful
αὐτῷ τάχους, ἀλλ᾽ οὐχ ὅπλων οὐδὲ ἀνδρείας οἰόμενος.
for-himself of-speed but not of-arms nor of-courage thinking
29 Ὃ δὴ καταμαθὼν ἐπανῆγες ἀπὸ τῶν δυσχωριῶν
which indeed having-perceived you-led-back from the rough-places
τὸ στράτευμα, εἵπετο δὲ ἐκεῖνος, διώκειν, οὐχὶ δὲ
the army followed and he to-pursue not but
καταστρατηγεῖσθαι νομίσας, ἕως εἰς τὴν εὐρυχωρίαν
to-be-outgeneraled having-thought until into the open-country
ἄμφω κατέστητε. τῶν πεδίων δὲ τῶν πρὸ τῆς Μύρσης
both you-came the plains but the before — Mursa
ὀφθέντων, ἐτάττοντο μὲν ἐπὶ κέρως ἱππεῖς ἑκατέρου πεζοί
having-been-seen were-drawn-up indeed on wing horsemen of-each foot-soldiers
τε ἐν μέσῳ· ἔχων δὲ αὐτός, ὦ βασιλεῦ, τὸν ποταμὸν ἐν
both in middle having but yourself O king the river on
δεξιᾷ, τῷ λαιῷ τοὺς πολεμίους ὑπερβαλλόμενος ἐτρέψω
right with-the left the enemies outflanking you-routed
μὲν εὐθέως καὶ διέλυσας τὴν φάλαγγα οὐδὲ τὴν ἀρχὴν
indeed at-once and broke-up the phalanx not-even at-the outset
συγκειμένην ὀρθῶς, ἅτε ἀνδρὸς ἀπείρου πολέμων
arranged rightly inasmuch-as of-man inexperienced of-wars
καὶ στρατηγίας αὐτὴν κοσμήσαντος. ὁ δὲ τέως διώκειν
and generalship it having-ordered he but till-then to-pursue
ὑπολαμβάνων, οὐδὲ ἐς χεῖρας ἀφικόμενος, ἔφευγε καρτερῶς
supposing not-even to hands having-come fled vigorously
ἐκπλαγεὶς τὸν κτύπον τῶν ὅπλων, οὐδὲ τὸν ἐνυάλιον
having-been-dismayed-at the clash of-the arms nor the warlike
παιᾶνα τῶν στρατοπέδων ἐπαλαλαζόντων ἀδεῶς ἀκούων.
paean of-the camps raising-the-war-cry fearlessly hearing
διαλυθείσης δὲ οἱ στρατιῶται τῆς τάξεως συνιστάμενοι
broken-up but the soldiers of-the order gathering

κατὰ λόχους πάλιν τὸν ἀγῶνα συνέβαλον, αἰσχυνόμενοι μὲν
by companies again the contest joined being-ashamed indeed
ὀφθῆναι φεύγοντες καὶ τὸ τέως ἄπιστον ἅπασιν ἀνθρώποις
to-be-seen fleeing and the till-then incredible to-all men
ἐφ᾽ αὑτῶν δεῖξαι συμβαῖνον, στρατιώτην Κελτόν, στρατιώτην
in themselves to-show happening soldier Celtic soldier
ἐκ Γαλατίας τὰ νῶτα τοῖς πολεμίοις δείξαντα. οἱ βάρβαροι
from Gaul the backs to-the enemies having-shown the barbarians
δὲ τὴν ἐπάνοδον ἀπεγνωκότες, εἰ πταίσειαν, ἢ κρατεῖν
and the return having-despaired-of if they-should-fall either to-prevail
ἢ θνήσκειν δράσαντές τι δεινὸν τοὺς πολεμίους ἠξίουν.
or to-die having-done something terrible the enemies deemed-fit
τοῖς μὲν οὖν ξὺν τῷ τυράννῳ τοσοῦτον περιῆν θράσους
in-those indeed then with the tyrant so-much abounded of-boldness
πρὸς τὰ δεινὰ καὶ τοῦ χωρεῖν ὁμόσε πολλὴ προθυμία.
for the dangers and of-the to-advance to-close-quarters much eagerness
Οἱ δὲ τῶν ὅλων κρατήσαντες, αἰδούμενοι μὲν ἀλλήλους
they but of-the whole having-prevailed respecting indeed one-another
καὶ τὸν βασιλέα, παροξυνόμενοι δὲ ὑπὸ τῶν πάλαι
and the king spurred-on but by the long-ago
κατορθωμάτων καὶ τῶν ἐν χερσὶ λαμπρῶν καὶ τέως
successes and the in hands brilliant and till-then
ἀπίστων ἔργων, τέλος ἄξιον τοῖς προϋπηργμένοις ἐπιθεῖναι
incredible deeds end worthy to-the before-achieved to-put
φιλοτιμούμενοι πάντα ὑπέμενον ἡδέως πόνον καὶ κίνδυνον.
being-ambitious every endured gladly toil and danger
ὥσπερ οὖν ἄρτι τῆς παρατάξεως ἀρχομένης, συνιόντες
as then just-now of-the battle beginning coming-together
πάλιν ἔργα τόλμης ἀπεδείκνυντο καὶ θυμοῦ γενναῖα, οἱ
again deeds of-daring they-displayed and of-spirit noble the(-ones)
μὲν ὠθούμενοι περὶ τοῖς ξίφεσιν, ἄλλοι δὲ λαμβανόμενοι
indeed being-thrust upon the swords others and seizing

τῶν ἀσπίδων, καὶ τῶν ἱππέων ὁπόσους ἵπποι τρωθέντες
the shields and of-the horsemen as-many-as horses wounded
ἀπεσείοντο πρὸς τοὺς ὁπλίτας μετεσκευάζοντο. ταῦτα
shook-off to the hoplites changed-equipment these-things
ἔδρων οἱ ξὺν τῷ τυράννῳ τοῖς πεζοῖς ἐπιβρίσαντες·
did those with the tyrant on-the foot-soldiers having-pressed-heavily
καὶ ἦν ὁ πόλεμος ἐξ ἴσης, ἕως οἱ θωρακοφόροι καὶ
and was the war on equal-terms until the cuirassiers and
τὸ λοιπὸν τῶν ἱππέων πλῆθος, οἱ μὲν ἐκ τόξων
the rest of-the horsemen multitude the(-ones) indeed from bows
βάλλοντες, ἄλλοι δὲ ἐπελαύνοντες τοὺς ἵππους, πολλοὺς
shooting others and driving-on the horses many
μὲν ἔκτεινον, ἐδίωκον δὲ ἅπαντας καρτερῶς, τινὰς μὲν
indeed they-killed pursued and all vigorously some indeed
πρὸς τὸ πεδίον ὡρμηκότας φεύγειν, ὧν ἡ νὺξ ὀλίγους
toward the plain having-set-out to-flee of-whom the night few
ἀπέσωσε μόλις, τὸ λοιπὸν δὲ ἐς τὸν ποταμὸν κατηνέχθη,
saved hardly the rest and into the river was-borne-down
καθάπερ βοῶν ἢ βοσκημάτων ἀγέλη συνελαυνόμενοι.
like of-oxen or of-cattle herd being-driven-together
30 τοσαῦτα ἐκεῖνο τὸ στράτευμα τῆς τοῦ τυράννου δειλίας,
so-much that the army of-the of-the tyrant cowardice
οὐδὲν ἐκεῖνον ὠνῆσαν ἐκ τῆς ἀνδρείας τῆς αὑτοῦ,
nothing him having-profited from the courage the his-own
μάτην ἀπέλαυσε.
in-vain enjoyed
Τρόπαιον δὲ ἀνέστησας ἐπὶ τῇ νίκῃ τοῦ πατρῴου
trophy and you-set-up for the victory than-the father's
λαμπρότερον. ὁ μὲν γὰρ τοὺς τέως ἀμάχους δοκοῦντας
more-brilliant he indeed for those till-then unconquerable seeming
ἄγων ἐκράτει γέροντος δυστυχοῦς· σὺ δὲ ἡβῶσαν καὶ
leading overcame old-man unfortunate you but in-its-youth and

ἀκμάζουσαν οὐ τοῖς κακοῖς μόνον οἷς ἔδρα, τῇ νεότητι
at-its-height not by-the evils only which it-did by-the youth
δὲ πλέον, τὴν τυραννίδα παρεστήσω, τοῖς ὑπὸ σοῦ
but more the tyranny you-subdued with-the by you
παρασκευασθεῖσι στρατοπέδοις παραταξάμενος. τίς γὰρ
prepared camps having-arrayed who for
εἰπεῖν ἔχει τῶν πρόσθεν αὐτοκρατόρων ἱππικὴν δύναμιν καὶ
to-say can of-the former emperors cavalry force and
σκευὴν τῶν ὅπλων τοιαύτην ἐπινοήσαντα καὶ μιμησάμενον;
equipment of-the arms such having-devised and having-imitated
ᾗ πρῶτος αὐτὸς ἐγγυμνασάμενος διδάσκαλος ἐγένου
in-which first yourself having-trained teacher you-became
τοῖς ἄλλοις ὅπλων χρήσεως ἀμάχου. ὑπὲρ ἧς εἰπεῖν
to-the others of-arms of-use unconquerable about which to-speak
τολμήσαντες πολλοὶ τῆς ἀξίας διήμαρτον, ὥσθ' ὅσοι τῶν
having-dared many the worth missed so-that as-many-as the
λόγων ἀκούσαντες ὕστερον ἰδεῖν ηὐτύχησαν τὰς ἀκοὰς σαφῶς
accounts having-heard later to-see were-fortunate the hearing clearly
ἀπιστοτέρας ἔγνωσαν εἶναι τῶν ὀμμάτων. ἄπειρον γὰρ
less-credible knew to-be than-the eyes countless for
ἦγες ἱππέων πλῆθος, καθάπερ ἀνδριάντας ἐπὶ τῶν ἵππων
you-led of-horsemen multitude like statues on the horses
ὀχουμένους, οἷς συνήρμοστο τὰ μέλη κατὰ μίμησιν
riding to-whom were-fitted the limbs according-to imitation
τῆς ἀνθρωπίνης φύσεως· ἀπὸ μὲν τῶν ἄκρων καρπῶν ἐς
of-the human nature from indeed the extreme wrists to
τοὺς ἀγκῶνας, ἐκεῖθεν δὲ ἐπὶ τοὺς ὤμους, καὶ ὁ θώραξ ἐκ
the elbows thence but to the shoulders and the breastplate from
τμημάτων κατὰ τὸ στέρνον καὶ τὰ νῶτα συναρμοζόμενος, τὸ
segments at the breast and the back being-fitted the
κράνος αὐτῷ προσώπῳ σιδηροῦν ἐπικείμενον ἀνδριάντος
helmet on-the-very face of-iron placed of-statue

λαμπροῦ καὶ στίλβοντος παρέχει τὴν ὄψιν, ἐπεὶ μηδὲ
brilliant and gleaming presents the appearance since not-even
κνῆμαι καὶ μηροὶ μηδὲ ἄκροι πόδες τῆς σκευῆς ταύτης ἔρημοι
shins and thighs nor extreme feet of-the equipment this bare
λείπονται. συναρμοζομένων δὲ αὐτῶν τοῖς θώραξι διά
are-left being-fitted and them to-the breastplates through
τινων ἐκ κρίκου λεπτοῦ πεποιημένων οἱονεὶ ὑφασμάτων
some from ring fine made as-it-were woven-things
οὐδὲν ἂν ὀφθείη τοῦ σώματος γυμνὸν μέρος, ἅτε καὶ
no — would-be-seen of-the body bare part inasmuch-as even
τῶν χειρῶν τοῖς ὑφάσμασι τούτοις σκεπομένων πρὸς τὸ
the hands with-the woven-things these being-covered so-as the
καὶ καμπτομένοις ἐπακολουθεῖν τοῖς δακτύλοις. ταῦτα ὁ
even to-bending to-follow the fingers these-things the
λόγος παραστῆσαι μὲν σαφῶς ἐπιθυμεῖ, ἀπολειπόμενος δὲ
speech to-present indeed clearly desires falling-short but
θεατὰς τῶν ὅπλων τοὺς μαθεῖν τι πλέον ἐθέλοντας, οὐχὶ
spectators of-the arms those to-learn something more wishing not
δὲ ἀκροατὰς τῆς ὑπὲρ αὐτῶν διηγήσεως ἀξιοῖ γενέσθαι.
but hearers of-the about them narrative deems-fit to-become
31 Ἡμεῖς δὲ ἐπειδὴ τὸν πρῶτον πόλεμον διεληλύθαμεν,
we but since the first war we-have-gone-through
ληγούσης ἤδη τῆς ὀπώρας, ἆρ᾽ ἐνταῦθα τὴν διήγησιν
ending already of-the autumn then here the narrative
πάλιν ἀφήσομεν; ἢ πάντως τὸ τέλος ἀποδοῦναι τῶν
again shall-we-abandon or altogether the end to-render of-the
ἔργων τοῖς ποθοῦσιν ἄξιον; ἐπέλαβε μὲν ὁ χειμὼν καὶ
deeds to-those longing worthy came-on indeed the winter and
παρέσχε διαφυγεῖν τὴν τιμωρίαν τὸν τύραννον. κηρύγματα
allowed to-escape the punishment the tyrant proclamations
δὲ ἦν λαμπρὰ καὶ βασιλικῆς ἄξια μεγαλοψυχίας· ἄδεια δὲ
but were brilliant and of-royal worthy magnanimity impunity and

πᾶσιν ἐδίδοτο τοῖς ταξαμένοις μετὰ τοῦ τυράννου, πλὴν
to-all was-given to-those having-been-arrayed with the tyrant except
εἴ τις ἀνοσίων ἐκείνῳ φόνων ἐκοινώνει· ἀπελάμβανον
if anyone in-unholy with-him murders shared received-back
τὰς οἰκίας ἅπαντες καὶ τὰ χρήματα καὶ πατρίδας οἱ
the houses all and the money and fatherlands those
μηδὲ ὄψεσθαί τι τῶν φιλτάτων αὐτοῖς ἐλπίζοντες.
not-even to-be-going-to-see anything of-the dearest to-them hoping
ὑπεδέχου τὸ ναυτικὸν ἐκ τῆς Ἰταλίας ἐπανερχόμενον,
you-received the fleet from — Italy returning
πολλοὺς ἐκεῖθεν πολίτας κατάγον φεύγοντας οἶμαι τὴν τῶν
many from-there citizens bringing-back fleeing I-think the of-the
τυράννων ὠμότητα. ἐπεὶ δὲ ὁ καιρὸς ἐκάλει στρατεύεσθαι,
tyrants cruelty when and the season called to-campaign
πάλιν ἐφειστήκεις δεινὸς τῷ τυράννῳ. ὁ δὲ προυβάλλετο
again you-stood-over terrible to-the tyrant he but put-forward
τὰς Ἰταλῶν δυσχωρίας, καὶ τοῖς ὄρεσι τοῖς ἐκεῖ καθάπερ
the of-Italians rough-places and in-the mountains the there like
θηρίον ἐναποκρύψας τὰς δυνάμεις αὐτὸς οὐδὲ ὑπαίθριος
wild-beast having-hidden the forces himself not-even in-the-open
ἐτόλμα στρατεύειν. ἀναλαβὼν δὲ αὑτὸν εἰς τὴν πλησίον
dared to-campaign having-taken and himself into the nearby
πόλιν τρυφῶσαν καὶ πολυτελῆ, ἐν πανηγύρεσι καὶ τρυφαῖς
city luxurious and extravagant in festivals and luxuries
ἔτριβε τὸν χρόνον, ἀρκέσειν μὲν αὑτῷ πρὸς
wore-away the time to-be-going-to-suffice indeed for-himself for
σωτηρίαν τῶν ὀρῶν τὴν δυσχωρίαν μόνον οἰόμενος.
safety of-the mountains the roughness alone thinking
ἀκόλαστος δὲ ὢν φύσει κερδαίνειν ᾤετο τὸ χαρίζεσθαι
licentious and being by-nature to-gain he-thought the to-gratify
ταῖς ἐπιθυμίαις ἐν τοσούτοις κακοῖς, δῆλός τε ἦν
the desires in so-many evils evident and he-was

λίαν πεπιστευκὼς ἀσφαλῶς αὐτῷ τὰ παρόντα ἔχειν,
very having-trusted safely for-him the present-things to-hold
ἀποτειχιζομένης ἐν κύκλῳ τῆς Ἰταλίας τοῖς ὄρεσι, πλὴν
being-walled-off in circle — Italy by-the mountains except
ὅσον ἐξ ἡμισείας ἡ θάλασσα τεναγώδης οὖσα καὶ
as-much-as from half the sea shallow being and
τοῖς Αἰγυπτίων ἕλεσιν ἐμφερὴς ἄβατον καὶ νηίτῃ στρατῷ
to-the of-Egyptians marshes like impassable even to-naval army
πολεμίων ἀνδρῶν καθίστησιν. ἀλλ᾽ ἔοικεν οὐδὲ ἓν ἡ φύσις
of-enemy men renders but it-seems not-even one the nature
πρὸς ἀνδρὸς ἀρετὴν καὶ σωφροσύνην τοῖς ἀκολάστοις καὶ
against of-man virtue and temperance for-the licentious and
δειλοῖς ἔρυμα μηχανήσασθαι, πάντα ὑποχωρεῖν φρονήσει
cowardly bulwark to-have-devised all-things to-yield to-wisdom
μετὰ ἀνδρείας ἐπιούσῃ παρασκευάζουσα· πάλαι τε ἡμῖν
with courage advancing preparing long-ago and for-us
ἐξηῦρε τὰς τέχνας, δι᾽ ὧν εἰς εὐπορίαν τῶν τέως
discovered the arts through which into abundance of-the till-then
δοξάντων ἀπόρων κατέστημεν, καὶ ἐπὶ τῶν καθ᾽
having-seemed impossible-things we-came and in the in
ἕκαστον ἔργων τὸ πολλοῖς ἀδύνατον εἶναι φαινόμενον
particular deeds the for-many impossible to-be appearing
ἐπιτελούμενον πρὸς ἀνδρὸς σώφρονος. ὃ δὴ καὶ τότε
being-accomplished by man temperate which indeed also then
τοῖς ἔργοις, ὦ βασιλεῦ, δείξας εἰκότως ἂν ἀποδέχοιο
by-the deeds O king having-shown fittingly — you-would-accept
τοὺς ἐπ᾽ αὐτῷ λόγους.
the about it speeches

Constantius found an unknown path, surrounded the enemy before dawn, and overcame them all; the tyrant fled to Gaul, where he tortured citizens by dragging them behind chariots, until Constantius forced him onto the sword stained with their blood. Julian passes over Carthage, the Pyrenees, the harbors at Antioch, and the wall of his father's city. Unlike Alexander, who would not endure his father's rule, and Cyrus, who took his grandfather's, Constantius honored his father and his brothers, and was first to set out against a barbarian usurper, on the justest of pretexts. He built a fleet greater than Xerxes' in under ten months, restored the cities' wealth, gave back lost property, and made many rich, unlike rulers who envy their friends' wealth, their subjects' nobility, bodily health, or virtue.

Ἐστράτευες μὲν γὰρ αὐτὸς ὑπαίθριος, καὶ ταῦτα πλησίον 32
you-campaigned indeed for yourself in-the-open and that near
παρούσης πόλεως οὐ φαύλης, τοῖς στρατευομένοις δὲ οὐκ
being-at-hand city not mean for-those campaigning but not
ἐξ ἐπιτάγματος τὸ πονεῖν καὶ κινδυνεύειν, ἐξ ὧν δὲ
from command the to-toil and to-be-in-danger from which-things but
αὐτὸς ἔδρας παρεγγυῶν· ἄτραπον μὲν ἐξηῦρες ἄγνωστον
yourself you-did exhorting path indeed you-found unknown
τοῖς πᾶσι, πέμψας δὲ ἀξιόμαχον τῆς δυνάμεως ἁπάσης
to-the all having-sent and fit-for-battle of-the force whole
ὁπλιτῶν μοῖραν, εἶτα ἐπειδὴ σαφῶς ἔγνως αὐτοὺς τοῖς
of-hoplites portion then when clearly you-knew them over-the
πολεμίοις ἐφεστῶτας, αὐτὸς ἀναλαβὼν ἦγες τὸ στράτευμα,
enemies standing yourself having-taken-up you-led the army
καὶ κύκλῳ περιέχων πάντων ἐκράτησας. ταῦτα ἐδρᾶτο
and in-circle surrounding all you-overcame these-things were-done
πρὸ τῆς ἕω, ἤγγελτο δὲ πρὸ μεσημβρίας τῷ τυράννῳ
before the dawn had-been-announced and before midday to-the tyrant
ἁμίλλαις ἱππικαῖς καὶ πανηγύρει προσκαθημένῳ καὶ τῶν
at-contests equestrian and festival sitting and of-the

παρόντων οὐδὲν ἐλπίζοντι. τίς μὲν οὖν γέγονεν ἐκ τίνος,
present-things nothing expecting who indeed then he-was from whom
καὶ ποταπὴν γνώμην εἶχεν ὑπὲρ τῶν παρόντων, καὶ ὅπως
and what-kind-of judgment had about the present-things and how
ἐκλιπὼν ἔφυγε τὴν πόλιν καὶ τὴν Ἰταλίαν πᾶσαν,
having-abandoned he-fled the city and — Italy all
τοὺς φόνους καὶ τὰς πρόσθεν ἀδικίας ἐκκαθαιρόμενος,
the murders and the former wrongs purging-away
οὐ τοῦ παρόντος ἂν εἴη λόγου διηγεῖσθαι. ἔμελλε
not of-the present — would-be speech to-narrate was-going
δὲ βραχείας ἀνοκωχῆς τυχὼν οὐδέν τι μεῖον τῶν
but short respite having-obtained nothing any less than-the
ἔμπροσθεν δράσειν. οὕτως οὐδὲν πρὸς πονηρίαν ψυχῆς
former-things to-be-going-to-do so nothing for wickedness of-soul
ἄνθρωπος ἀνόσιος ἐξηῦρε καθάρσιον διὰ τοῦ σώματος.
man unholy found purification through the body
ἀφικόμενος γὰρ εἰς Γαλατίαν ὁ χρηστὸς οὑτοσὶ καὶ
having-come for into Gaul the good this-here and
νόμιμος ἄρχων τοσοῦτον αὐτοῦ γέγονε χαλεπώτερος,
lawful ruler so-much than-himself became harsher
ὡς, εἴ τις πρότερον αὐτὸν διαφυγὼν ἐλελήθει τιμωρίας
as if any formerly him having-escaped had-escaped-notice of-punishment
τρόπος ὠμότατος, τοῦτον ἐξευρὼν θέαμα κεχαρισμένον
manner most-savage this having-found sight gratifying
αὑτῷ τὰς τῶν ἀθλίων πολιτῶν παρεῖχε συμφοράς·
to-himself the of-the wretched citizens he-provided misfortunes
ἅρματος ζῶντας ἐκδήσας καὶ μεθεὶς φέρεσθαι τοῖς
to-chariot living having-bound and having-let-go to-be-borne to-the
ἡνιόχοις ἕλκειν ἂν ἐκέλευεν, αὐτὸς ἐφεστηκὼς καὶ
charioteers to-drag — he-would-order himself standing-over and
θεώμενος τὰ δρώμενα· καί τισι τοιούτοις ἑτέροις
watching the-things done and with-some such other-things

αὐτὸν ψυχαγωγῶν τὸν πάντα διετέλει χρόνον, ἕως
himself entertaining the whole continued time until
αὐτὸν καθάπερ Ὀλυμπιονίκης περὶ τῷ τρίτῳ παλαίσματι
him like Olympic-victor at the third fall
καταβαλὼν δίκην ἐπιθεῖναι τῶν τετολμημένων ἀξίαν
having-thrown penalty to-pay for-the-things dared worthy
κατηνάγκασας ὥσαντα διὰ τῶν στέρνων τὸ αὐτὸ ξίφος,
you-compelled having-thrust through the breast the same sword
ὃ πολλῶν πολιτῶν ἐμίανε φόνῳ. ταύτης ἐγὼ τῆς
which of-many citizens stained with-murder than-this I the
νίκης ἀμείνω καὶ δικαιοτέραν οὔποτε γενέσθαι φημὶ οὐδὲ
victory better and more-just never to-have-happened say nor
ἐφ' ᾗ μᾶλλον τὸ κοινὸν τῶν ἀνθρώπων ηὐφράνθη γένος,
at which more the common of-the men rejoiced race
τοσαύτης ὠμότητος καὶ πικρίας ἀφεθὲν ὄντως ἐλεύθερον,
from-so-great savagery and bitterness released truly free
εὐνομίᾳ δὲ ἤδη γανύμενον, ἧς τέως ἀπολαύομεν καὶ
in-good-order but already exulting which till-now we-enjoy and
ἀπολαύσαιμέν γε ἐπὶ πλέον, ὦ πάντα ἀγαθὴ πρόνοια.
may-we-enjoy indeed for longer O in-all-things good providence
Ἐμοὶ δὲ ποθοῦντι μὲν ἐπεξελθεῖν ἅπασι τοῖς σοι 33
to-me but longing indeed to-go-through all the-things by-you
πραχθεῖσιν, ἀπολειπομένῳ δὲ συγγνώμην εἰκότως, ὦ
done falling-short but pardon fittingly O
μέγιστε βασιλεῦ, παρέξεις, εἰ μήτε τῶν ἀποστόλων
greatest king you-will-grant if neither of-the expeditions
τῶν ἐπὶ Καρχηδόνα μνημονεύοιμι ἀπό τε Αἰγύπτου
the against Carthage I-should-mention from both Egypt
παρασκευασθέντων καὶ ἐξ Ἰταλίας ἐπ' αὐτὴν πλευσάντων,
prepared and from Italy against it having-sailed
μήτε ὡς τῶν Πυρηναίων ὀρῶν ἐκράτησας ναυσὶν
nor how the Pyrenees mountains you-mastered with-ships

ἐκπέμψας ἐπ᾽ αὐτὰ στράτευμα, μήτε τῶν ἔναγχός σοι
having-sent-out against them army nor of-the-things recently by-you
πολλάκις πρὸς τοὺς βαρβάρους πραχθέντων, μήτ᾽ εἴ τι
often against the barbarians done nor if anything
τοιοῦτον ἕτερον τῶν πάλαι γεγονὸς λέληθε
such other of-the-things long-ago having-happened has-escaped-the-notice-of
τοὺς πολλούς. ἐπεὶ καὶ τὴν Ἀντιόχου πόλιν ἑαυτὴν σοῦ
the many since also the of-Antiochus city itself after-you
ἐπώνυμον ἐπονομάζουσαν ἀκούω πολλάκις. ἔστι μὲν γὰρ
named naming I-hear often it-is indeed for
διὰ τὸν κτίσαντα, πλουτεῖ δὲ ἤδη καὶ πρὸς ἅπασαν
because-of the(-one) having-founded is-rich but already and toward all
εὐπορίαν ἐπιδέδωκε διὰ σὲ λιμένας εὐόρμους τοῖς
prosperity has-advanced because-of you harbors safe-for-anchoring to-those
καταίρουσι παρασχόντα· τέως δὲ οὐδὲ παραπλεῖν ἀσφαλὲς
putting-in having-provided till-then but not-even to-sail-past safe
οὐδὲ ἀκίνδυνον ἐδόκει· οὕτως ἦν πάντα σκοπέλων τινῶν
nor without-danger seemed so were all-things of-rocks some
καὶ πετρῶν ὑφάλων ἀνάπλεα τῆς θαλάσσης τῇσδε πρὸς
and of-stones sunken full of-the sea this-here at
ταῖς ἠόσι. στοὰς δὲ καὶ κρήνας καὶ ὅσα τοιαῦτα
the shores colonnades and both fountains and as-many-as such-things
παρὰ τῶν ὑπάρχων διὰ σὲ γέγονεν οὐδὲ ὀνομάζειν
by the prefects because-of you have-been not-even to-name
ἄξιον. ὁπόσα δὲ τῇ πατρῴᾳ πόλει προστέθεικας, τεῖχος
worthy as-many-as but to-the father's city you-have-added wall
μὲν αὐτῇ κύκλῳ περιβαλὼν ἀρξάμενον τότε, τὰ
indeed for-it in-circle having-thrown-around having-begun then the-things
δοκοῦντα δὲ οὐκ ἀσφαλῶς ἔχειν τῶν οἰκοδομημάτων εἰς
seeming but not safely to-be of-the buildings into

ἀθάνατον ἀσφάλειαν κατατιθείς, τίς ἂν ἀπαριθμήσαιτο;
immortal safety establishing who — could-enumerate
ἐπιλείψει με τούτων ἕκαστον ὁ χρόνος διηγούμενον.
will-fail me of-these each the time narrating
Σκοπεῖν δὲ ὑπὲρ ἁπάντων ἄξιον ἤδη τῶν ῥηθέντων, εἰ 34
to-consider but about all worthy now the-things said if
μετὰ ἀρετῆς καὶ τῆς βελτίστης ἕξεως ἅπαντα γέγονε·
with virtue and the best disposition all-things have-happened
τούτῳ γὰρ ἤδη καὶ τῶν λόγων ἀρχόμενος μάλιστα
to-this for already even of-the speeches beginning most
προσέχειν τὸν νοῦν ἠξίουν. οὐκοῦν τῷ πατρὶ μὲν εὐσεβῶς
to-apply the mind I-deemed-fit therefore to-the father indeed piously
καὶ φιλανθρώπως ὅπως προσηνέχθης, ὁμονοῶν δὲ πρὸς
and humanely how you-behaved being-of-one-mind but toward
τοὺς ἀδελφοὺς διετέλεσας τὸν ἅπαντα χρόνον, ἀρχόμενος
the brothers you-continued the whole time being-ruled
μὲν προθύμως, συνάρχων δὲ ἐκείνοις σωφρόνως, πάλαι τε
indeed eagerly ruling-with but them temperately long-ago both
εἴρηται καὶ νῦν ἀξιούσθω μνήμης. τοῦτο δὲ ὅστις
has-been-said and now let-it-be-deemed-worthy of-mention this but whoever
μικρᾶς ἀρετῆς ἔργον ὑπέλαβεν Ἀλέξανδρον τὸν Φιλίππου
of-small virtue work has-supposed Alexander the(-son) of-Philip
καὶ Κῦρον τὸν Καμβύσου σκοπῶν ἐπαινείτω. ὁ μὲν
and Cyrus the(-son) of-Cambyses considering let-him-praise the(-one) indeed
γὰρ μειράκιον ἔτι κομιδῇ νέον δῆλος ἦν τοῦ πατρὸς οὐκ
for youth still quite young evident was the father not
ἀνεξόμενος ἄρχοντος, ὁ δὲ ἀφείλετο τὴν ἀρχὴν τὸν πάππον.
going-to-endure ruling he but took-away the rule the grandfather
καὶ ταῦτα οὐδείς ἐστιν οὕτως ἠλίθιος, ὅστις οὐκ οἴεταί
and these-things no-one is so foolish who not thinks
σε, μηδὲν ἐκείνων μεγαλοψυχίᾳ καὶ τῇ πρὸς τὰ καλὰ
you in-nothing than-those in-magnanimity and in-the for the noble-things

φιλοτιμίᾳ λειπόμενον, οὕτως ἐγκρατῶς καὶ σωφρόνως
ambition falling-short so self-controlledly and temperately
τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς προσενηνέχθαι. παρασχούσης
ὑποχωρούντων ἐν χαρμονῇ. οὔκουν οὐδὲν αὑτῷ πολέμιον
withdrawing in delight not-then nothing to-himself hostile
οὐδὲ ἀντίπαλον ᾤετο καταλιπέσθαι, οὐδὲ αὐτὸν κατείργειν
nor rival he-thought to-be-left nor him to-prevent
οὐδὲ ἓν τὸ μὴ ἐπὶ τοῦ Τίγρητος στῆναι ταῖς ἐκβολαῖς.
not-even one-thing the not at — Tigris to-stand at-the mouths
εἵπετο δὲ αὐτῷ πολὺς μὲν ὁπλίτης, ἱππεῖς δὲ οὐχ ἧττους,
followed and him many indeed hoplite horsemen and not fewer
ἀλλ᾽ οἵπερ ἄλκιμοι, Κελτοὶ καὶ Ἴβηρες Γερμανῶν τε οἱ
but who valiant Celts and Iberians of-Germans both the(-ones)
πρόσοικοι Ῥήνῳ καὶ τῇ θαλάττῃ τῇ πρὸς ἑσπέραν, ἣν
neighboring to-Rhine and to-the sea the toward west which
εἴτε Ὠκεανὸν χρὴ καλεῖν εἴτε Ἀτλαντικὴν θάλατταν
whether Ocean it-is-needful to-call or Atlantic sea

εἴτε ἄλλῃ τινὶ χρῆσθαι προσωνυμίᾳ προσῆκον, οὐκ
or other some to-use name befitting not
ἰσχυρίζομαι· πλὴν ὅτι δὴ αὐτῇ προσοικεῖ δύσμαχα καὶ
I-insist except that indeed by-it dwell hard-to-fight and
ῥώμῃ διαφέροντα τῶν ἄλλων ἐθνῶν γένη βαρβάρων, οὐκ
in-strength surpassing the other nations races of-barbarians not
ἀκοῇ μόνον, ἥπερ δὴ τυγχάνει πίστις οὐκ ἀσφαλής,
by-hearsay only which-very indeed happens-to-be proof not safe
ἀλλ᾽ αὐτῇ πείρᾳ τοῦτο ἐκμαθὼν οἶδα. τούτων δὴ τῶν
but by-very experience this having-learned I-know of-these indeed the
ἐθνῶν ἐξαναστήσας οὐκ ἔλαττον πλῆθος τῆς οἴκοθεν αὐτῷ
nations having-roused not less multitude than-the from-home him
ξυνεπισπομένης στρατιᾶς, μᾶλλον δὲ τὸ μὲν ὡς οἰκεῖον
following-with army rather but the indeed as own
εἵπετο πολὺ καὶ αὐτῷ ξύμφυλον, τὸ δὲ ἡμέτερον· οὕτω
followed numerous and to-him of-the-same-tribe the but ours so
γὰρ καλεῖν ἄξιον· ὁπόσον Ῥωμαίων βίᾳ καὶ οὐ γνώμῃ
for to-call worthy as-much-as of-Romans by-force and not by-intention
ξυνηκολούθησεν, ἐοικὸς ἐπικούροις καὶ μισθοφόροις, ἐν
followed-along resembling auxiliaries and mercenaries in
Καρὸς εἵπετο τάξει καὶ σχήματι, δύσνουν μέν, ὡς εἰκός,
of-Carian followed rank and fashion ill-disposed indeed as likely
βαρβάρῳ καὶ ξένῳ, μέθῃ καὶ κραιπάλῃ τὴν δυναστείαν
to-barbarian and foreigner by-drunkenness and debauch the dominion
περιφρονήσαντι καὶ ἀνελομένῳ, ἄρχοντι δέ, ὥσπερ ἦν ἄξιον
having-despised and having-seized to-ruler but as was worthy
τὸν ἐκ τοιούτων προοιμίων καὶ προνομίων ἀρξάμενον.
the(-one) from such preludes and privileges having-begun
7 ἡγεῖτο δὲ αὐτὸς οὔτι κατὰ τὸν Τυφῶνα, ὃν ἡ
led and himself not-at-all like — Typhon whom the
ποιητικὴ τερατεία φησὶ τῷ Διὶ χαλεπαίνουσαν τὴν Γῆν
poetic marvel-mongering says — at-Zeus being-angry — Earth

ὠδῖναι, οὐδὲ ὡς γιγάντων ὁ κράτιστος, ἀλλ᾽ οἵαν
to-have-been-in-labor-with nor as of-giants the strongest but such-as
ὁ σοφὸς ἐν μύθοις Πρόδικος τὴν Κακίαν δημιουργεῖ πρὸς
the wise in myths Prodicus — Vice fashions with
τὴν Ἀρετὴν διαμιλλωμένην καὶ ἐθέλουσαν τὸν τοῦ Διὸς
— Virtue contending and wishing the — of-Zeus
ἀναπείθειν παῖδα, ὅτι ἄρα αὐτῷ μάλιστα πάντων τιμητέα
to-persuade son that then by-him most of-all to-be-honored
εἴη. προάγων δὲ ἐπὶ τὴν μάχην προυφέρετο τὰ
she-should-be leading-on and to the battle he-put-forward the-things
τοῦ Καπανέως, βαρβαρίζων καὶ ἀνοηταίνων, οὔτι
— of-Capaneus behaving-like-a-barbarian and acting-the-fool not-at-all
μὴν κατ᾽ ἐκεῖνον τῇ ῥώμῃ τῆς ψυχῆς πίσυνος οὐδὲ ἀλκῇ
indeed like that-one in-the strength of-the soul trusting nor in-prowess
τοῦ σώματος, τῷ πλήθει δὲ τῶν ξυνεπομένων βαρβάρων,
of-the body in-the multitude but of-the following barbarians
οἷς δὴ καὶ λείαν ἅπαντα προθήσειν ἠπείλει,
to-whom indeed also as-booty all-things to-be-going-to-set-before he-promised
ταξίαρχον ταξιάρχῳ καὶ λοχαγὸν λοχαγῷ καὶ στρατιώτην
commander to-commander and captain to-captain and soldier
στρατιώτῃ τῶν ἐξ ἐναντίας αὐταῖς· ἀποσκευαῖς καὶ
to-soldier of-those from opposite with-the-very baggage and
κτήμασιν, οὐδὲ τὸ σῶμα ἀφιεὶς ἐλεύθερον. αὔξει δὲ αὐτοῦ
possessions not-even the body letting-go free increases and his
τὴν διάνοιαν ἡ βασιλέως δεινότης, καὶ ἐκ τῶν δυσχωριῶν
the thought the of-king cleverness and from the rough-places
εἰς τὰ πεδία κατάγει γανύμενον καὶ οὐ ξυνιέντα, δρασμὸν
into the plains leads-down exulting and not understanding flight
δὲ ἀτεχνῶς καὶ οὐ στρατηγίαν τὸ πρᾶγμα κρίνοντα. ταῦτά
but simply and not generalship the matter judging these-things
τοι καὶ ἁλίσκεται, καθάπερ ὄρνιθες καὶ ἰχθύες δικτύοις.
you-know also he-is-caught like birds and fishes in-nets

ἐπειδὴ γὰρ ἐς τὴν εὐρυχωρίαν καὶ τὰ πεδία τῶν Παιόνων
when for into the open-country and the plains of-the Paeonians
ἦλθε καὶ ἐδόκει λῷον ἐνταῦθα διαγωνίζεσθαι, τότε δὴ
he-came and it-seemed better there to-fight-it-out then indeed
βασιλεὺς τούς τε ἱππέας ἐπὶ κέρως τάττει χωρὶς ἑκατέρου.
king the both horsemen on wing stations separately each
Τούτων δὲ οἱ μέν εἰσιν αἰχμοφόροι, θώραξιν ἐλατοῖς
of-these and the(-ones) indeed are spear-bearers with-breastplates beaten
καὶ κράνεσιν ἐκ σιδήρου πεποιημένοις σκεπόμενοι· κνημῖδές
and with-helmets of iron made covered greaves
τε τοῖς σφυροῖς εὖ μάλα περιηρμοσμέναι καὶ περιγονατίδες
both to-the ankles well very fitted-around and knee-guards
καὶ περὶ τοῖς μηροῖς ἕτερα τοιαῦτα ἐκ σιδήρου καλύμματα·
and about the thighs other such of iron coverings
αὐτοὶ δὲ ἀτεχνῶς ὥσπερ ἀνδριάντες ἐπὶ τῶν ἵππων
themselves but simply like statues on the horses
φερόμενοι, οὐδὲν ἀσπίδος δεόμενοι. τούτοις εἵπετο τῶν
borne in-no-way of-shield needing these followed of-the
ἄλλων ἱππέων πλῆθος ἀσπίδας φέροντες, οἱ δὲ ἀπὸ
other horsemen multitude shields carrying the(-ones) and from
τῶν ἵππων τοξεύοντες. πεζῶν δὲ ὁ μὲν ὁπλίτης ἦν ἐν
the horses shooting of-foot-soldiers and the indeed hoplite was in
τῷ μέσῳ συνάπτων ἐφ' ἑκάτερα τοῖς ἱππεῦσιν· ἐξόπισθεν
the middle joining on both-sides with-the horsemen behind
δὲ οἱ σφενδονῆται καὶ τοξόται καὶ ὁπόσον ἐκ χειρὸς
and the slingers and archers and as-much-as from hand
βάλλει γυμνὸν ἀσπίδος καὶ θώρακος. οὕτω κοσμηθείσης
throws bare of-shield and breastplate so drawn-up
τῆς φάλαγγος, μικρὰ τοῦ λαιοῦ κέρως προελθόντος ἅπαν
the phalanx little the left wing having-advanced all
τὸ πολέμιον συνετετάρακτο καὶ οὐκ ἐφύλαττε τὴν τάξιν.
the enemy had-been-confounded and not kept the rank

ἐγκειμένων δὲ τῶν ἱππέων καὶ οὐκ ἀνιέντων φεύγει μὲν
pressing-on but the horsemen and not relaxing flees indeed
αἰσχρῶς ὁ τὴν βασιλείαν αἴσχιον ἁρπάσας, λείπει
shamefully the(-one) the kingship more-shamefully having-seized leaves
δὲ αὐτοῦ τὸν ἵππαρχον καὶ χιλιάρχους καὶ ταξιάρχους
and his the cavalry-commander and tribunes and commanders
πάνυ πολλοὺς καὶ ἐρρωμένως ἀγωνιζομένους, ἐπὶ
very many and vigorously fighting in-addition-to
πᾶσι δὲ τὴν ποιητὴν τοῦ τερατώδους καὶ ἐξαγίστου
all and the author of-the monstrous and accursed
δράματος, ὃς πρῶτος ἐπὶ νοῦν ἐβάλετο μεταποιῆσαι τὴν
drama who first in mind cast to-transform the
βασιλείαν καὶ ἀφελέσθαι τοῦ γέρως ἡμᾶς.
kingship and to-take-away of-the prize us
Καὶ τέως μὲν ἔχαιρε τῆς πρώτης πείρας οὐκ ἀποσφαλεὶς
and till-then indeed he-rejoiced of-the first attempt not having-failed
οὐδὲ ἁμαρτήσας, τότε δὲ ἐφεστώσας ξὺν δίκῃ ποινὰς
nor having-missed then but standing-over with justice penalties
ἀπαιτεῖται τῶν ἔργων καὶ ἄπιστον τιμωρίαν εἰσπράττεται.
is-asked-for the deeds and incredible punishment is-exacted
πάντων γὰρ ὁπόσοι τοῦ πολέμου τῷ τυράννῳ
all for as-many-as of-the war with-the tyrant
συνεφήψαντο ἐμφανὴς μὲν ὁ θάνατος, δήλη δ’ ἡ
took-part manifest indeed the death evident and the
φυγὴ καὶ ἄλλων μεταμέλεια· ἱκέτευον γὰρ πολλοί, καὶ
flight and of-others repentance supplicated for many and
ἔτυχον ἅπαντες συγγνώμης, βασιλέως τὸν τῆς Θέτιδος
obtained all pardon king the(-son) — of-Thetis
ὑπερβαλλομένου μεγαλοφροσύνῃ. ὁ μὲν γάρ, ἐπειδὴ
surpassing in-magnanimity he indeed for when
Πάτροκλος ἔπεσεν, οὐδὲ πιπράκειν ἁλόντας ἔτι τοὺς
Patroclus fell not-even to-sell captured any-longer the

πολεμίους ἠξίου, ἀλλ᾽ ἱκετεύοντας περὶ τοῖς γόνασιν
enemies deemed-fit but supplicating at the knees
ἔκτεινεν· ὁ δὲ ἐκήρυττεν ἄδειαν τοῖς ἐξαρνουμένοις τὴν
killed he but proclaimed impunity to-those renouncing the
ξυνωμοσίαν, οὐ θανάτου μόνον ἢ φυγῆς ἤ τινος ἄλλης
conspiracy not of-death only or of-flight or of-some other
τιμωρίας ἀφαιρῶν τὸν φόβον, ὥσπερ δὲ ἔκ τινος
punishment taking-away the fear as and from some
ταλαιπωρίας καὶ ἄλης δυστυχοῦς τῆς ξὺν τῷ τυράννῳ
hardship and wandering unfortunate of-the with the tyrant
βιοτῆς κατάγειν σφᾶς ἐπ᾽ ἀκεραίοις τοῖς πρόσθεν ἠξίου.
life to-bring-back them on intact the former-things deemed-fit

III · THE RIVER BATTLE

The tyrant's mentor was found neither among the dead nor among the fugitives; perhaps a spirit snatched him away or the river fed him to its fish. The soldiers, their order broken through their general's ignorance, rallied by companies and fought on; horsemen with broken lances fought on foot, until the archers and cuirassiers routed them and pursued them to their camp, and they were driven into the Dravus, which did not shelter them as the Scamander did the Trojans. Homer's duel between a man and a river is a pretty fiction, and Achilles' victory changed little. The tyrant fortified the mountains and begged for pardon, faithless and bold, heaping wrong on wrong.

8 τοῦτο μὲν δὴ καὶ αὖθις τεύξεται λόγου.
this indeed indeed also again will-obtain speech
Ἐκεῖνο δὲ ἤδη ῥητέον, ὡς οὔτε ἐν τοῖς κειμένοις ἦν
that but now one-must-say that neither among the lying-dead was
οὔτε ἐν τοῖς φεύγουσιν ὁ παιδοτρίβης τοῦ τυράννου.
nor among the fleeing the trainer of-the tyrant
τὸ γὰρ μηδὲ ἐλπίσαι συγγνώμην εὔλογον οὕτω μὲν
the for not-even to-hope-for pardon reasonable so indeed

ἄδικα διανοηθέντα, ἀσεβῆ δὲ ἐργασάμενον, φόνων
unjust-things having-intended impious-things but having-done murders
τε ἀδίκων ἀνδρῶν καὶ γυναικῶν, πολλῶν μὲν ἰδιωτῶν,
and unjust of-men and women of-many indeed private-persons
πάντων δὲ σχεδὸν ὁπόσοι τοῦ βασιλείου γένους μετεῖχον
all but nearly as-many-as of-the royal family shared
ἁψάμενον, οὔτι ξὺν δείματι οὐδὲ ἄν τις ἐμφύλιον
having-laid-hands-on not-at-all with fear not-even — anyone kindred
φόνον διανοηθείη δρῶν, παλαμναίους τινὰς καὶ μιάστορας
murder might-intend doing avengers some and polluting-spirits
δεδιὼς καὶ ὑφορώμενος ἐκ τοῦ μιάσματος, ἀλλὰ ὥσπερ
fearing and suspecting from the pollution but as
τισὶ καθαρσίοις καινοῖς καὶ ἀτόποις τοὺς πρόσθεν
with-some purifications new and strange the former-murders
ἀπονιπτόμενος ἄνδρα ἐπ᾽ ἀνδρὶ καὶ γυναῖκας ἐπὶ τοῖς
washing-off man upon man and women upon the
φιλτάτοις ἀποκτινὺς εἰκότως ἀπέγνω τὴν ἱκετηρίαν.
dearest killing fittingly he-despaired-of the supplication
ταῦτα εἰκὸς μὲν αὐτὸν διανοηθῆναι, εἰκὸς δὲ καὶ ἄλλως
these-things likely indeed him to-have-intended likely but also otherwise
ἔχειν. οὐ γὰρ δὴ ἴσμεν ὅ τί ποτε παθὼν ἢ δράσας
to-be not for indeed we-know what thing ever having-suffered or having-done
ᾤχετο ἄιστος, ἄφαντος. ἀλλ᾽ εἴτε αὐτὸν δαίμων τιμωρὸς
he-went unseen vanished but whether him spirit avenging
ξυναρπάσας, καθάπερ Ὅμηρός φησι τὰς τοῦ Πανδάρεω
having-snatched-up as Homer says the — of-Pandareus
θυγατέρας, ἐπὶ γῆς ἄγει πέρατα ποινὰς ἀπαιτήσων τῶν
daughters to of-earth leads ends penalties going-to-exact for-the
διανοημάτων, εἴτε αὐτὸν ὁ ποταμὸς ὑποδεξάμενος ἑστιᾶν
intentions or him the river having-received to-feast
κελεύει τοὺς ἰχθῦς, οὔτι πω δῆλον.
bids the fishes not-at-all yet evident

ἄχρι μὲν γὰρ τῆς μάχης αὐτῆς καὶ ὁπηνίκα οἱ λόχοι
until indeed for the battle itself and when the companies
συνετάττοντο πρὸς φάλαγγα θρασὺς ἦν ἐν μέσοις
were-drawn-up into phalanx bold he-was in middle
ἀναστρεφόμενος· ἐπεὶ δὲ ἐπράχθη τὰ τῆς μάχης,
turning-about when but had-been-done the-things of-the battle
ὥσπερ ἦν ἄξιον, ἀφανὴς ᾤχετο οὐκ οἶδα ὑπὸ τοῦ θεῶν
as was worthy unseen he-went not I-know by which of-gods
ἢ δαιμόνων κρυφθείς, πλὴν ὅτι γε οὐκ ἐπ᾽ ἀμείνοσι ταῖς
or spirits hidden except that indeed not on better the
τύχαις εὔδηλον. οὐ γὰρ δὴ αὖθις ἔμελλε φανεὶς ἐπ᾽
fortunes very-evident not for indeed again was-going having-appeared in
ἐξουσίας ὑβρίζων ἀδεῶς εὐδαιμονήσειν, ὡς ᾤετο, ἀλλὰ ἐς
license outraging fearlessly to-be-going-to-prosper as he-thought but into
τὸ παντελὲς ἀφανισθεὶς τιμωρίαν ὑφέξειν αὐτῷ
the complete having-been-annihilated punishment to-be-going-to-undergo for-himself
μὲν δυστυχῆ, πολλοῖς δὲ ὠφέλιμον καὶ πρὸς ἐπανόρθωσιν.
indeed unfortunate for-many but beneficial and for correction
Τὰ μὲν δὴ περὶ τὸν μηχανοποιὸν τῆς ὅλης
the-things indeed indeed about the contriver of-the whole
ὑποθέσεως πλείονος ἀξιωθέντα λόγου, μέσῃ τῇ
plot of-greater deemed-worthy speech in-the-middle-of the
πράξει παρελόμενα τὸ ξυνεχὲς τῆς διηγήσεως, ἐνταῦθά
action having-interrupted the continuity of-the narrative here
που πάλιν ἀφετέα. ἐπανιτέον δὲ ὅθενπερ ἐξῆλθον
somewhere again one-must-let-go one-must-return but whence-very I-digressed
καὶ ἀποδοτέον τὸ τέλος τῆς μάχης.
and one-must-render the end of-the battle
9 οὐ γὰρ δὴ ξὺν τῇ τῶν στρατηγῶν δειλίᾳ καὶ τὰ τῶν
not for indeed with the of-the generals cowardice also the of-the
στρατιωτῶν πίπτει φρονήματα, ἀλλ᾽ ἐπειδὴ τὰ τῆς
soldiers falls spirits but when the-things of-the

τάξεως αὐτοῖς διεφθάρη, οὐ κακίᾳ σφῶν, ἀπειρίᾳ δὲ
rank for-them were-ruined not by-baseness their-own by-inexperience but
καὶ ἀμαθίᾳ τοῦ τάττοντος, κατὰ λόχους συνιστάμενοι
and ignorance of-the(-one) drawing-up by companies gathering
διηγωνίζοντο· καὶ ἦν τὸ ἔργον ἁπάσης ἐλπίδος μεῖζον,
they-fought-it-out and was the work than-every hope greater
τῶν μὲν οὐχ ὑφιεμένων ἐς τὸ παντελὲς τοῖς κρατοῦσι,
the(-ones) indeed not yielding into the complete to-those prevailing
τῶν δὲ ἐπεξελθεῖν τελέως τῇ νίκῃ φιλοτιμουμένων,
the(-others) but to-follow-up completely the victory being-ambitious
ξυμμιγής τε ἤρετο τάραχος καὶ βοὴ καὶ κτύπος τῶν
mingled and arose confusion and shout and clash of-the
ὅπλων, ξιφῶν τε ἀγνυμένων ἀμφὶ τοῖς κράνεσι καὶ τῶν
arms of-swords both breaking about the helmets and of-the
ἀσπίδων περὶ τοῖς δόρασιν. ἀνὴρ δὲ ἀνδρὶ ξυνίστατο, καὶ
shields about the spears man and with-man engaged and
ἀπορριπτοῦντες τὰς ἀσπίδας αὐτοῖς τοῖς ξίφεσιν ὠθοῦντο
throwing-away the shields with-very the swords they-thrust
μικρὰ τοῦ παθεῖν φροντίζοντες, ἅπαντα δὲ εἰς τὸ δρᾶσαί
little the to-suffer caring all but to the to-do
τι δεινὸν τοὺς πολεμίους τὸν θυμὸν τρέποντες, τοῦ μὴ
something terrible the enemies the spirit turning of-the not
καθαρὰν αὐτοῖς μηδὲ ἄδακρυν παρασχεῖν τὴν νίκην καὶ τὸ
pure to-them nor tearless to-provide the victory and the
ἀποθνήσκειν ἀνταλλαττόμενοι. καὶ ταῦτα ἔδρων οὐ πεζοὶ
to-die taking-in-exchange and these-things did not foot-soldiers
μόνον πρὸς τοὺς διώκοντας, ἀλλὰ καὶ ὅσοις τῶν ἱππέων
only against those pursuing but also as-many-as of-the horsemen
ὑπὸ τῶν θραυμάτων ἀχρεῖα παντελῶς ἐγεγόνει τὰ δόρατα.
by the breakings useless wholly had-become the spears

ξυστοὶ δέ εἰσιν εὐμήκεις, οὓς συγκαταγνύντες καὶ
pikes and are long which breaking and
ἀποπηδῶντες εἰς τοὺς ὁπλίτας μετεσκευάζοντο. καὶ χρόνον
leaping-down to the hoplites they-re-equipped and time
μέν τινα χαλεπῶς καὶ μόλις ἀντεῖχον· ἐπεὶ δὲ οἵ τε
indeed some hardly and with-difficulty held-out when but the both
ἱππεῖς ἔβαλλον ἐκ τόξων πόρρωθεν ἐφιππαζόμενοι καὶ οἱ
horsemen shot from bows from-afar riding-at and the
θωρακοφόροι πυκναῖς ἐπ᾽ αὐτοὺς ἐχρῶντο ταῖς ἐπελάσεσιν
cuirassiers frequent against them used the charges
ἅτε ἐν πεδίῳ καθαρῷ καὶ λείῳ νύξ τε ἐπέλαβεν,
inasmuch-as in plain clear and smooth night and came-on
ἐνταῦθα οἱ μὲν ἀπέφευγον ἄσμενοι, οἱ δὲ ἐδίωκον
then the(-ones) indeed fled gladly the(-others) but pursued
καρτερῶς ἄχρι τοῦ χάρακος, καὶ αὐτὸν αἱροῦσιν αὐταῖς
vigorously as-far-as the palisade and it they-take with-the-very
ἀποσκευαῖς καὶ ἀνδραπόδοις καὶ κτήνεσιν. ἀρξαμένης δέ,
baggage and slaves and beasts having-begun and
ὅπερ ἔφην, ἄρτι τῆς τροπῆς τῶν πολεμίων καὶ τῶν
which-very I-said just-now the rout of-the enemies and the
διωκόντων οὐκ ἀνιέντων, ἐπὶ τὸ λαιὸν ὠθοῦνται, ἵναπερ
pursuing not relaxing to the left they-are-pushed where-very
ὁ ποταμὸς ἦν τοῖς κρατοῦσιν ἐν δεξιᾷ. ἐνταῦθα δὲ ὁ
the river was for-those prevailing on right there and the
πολὺς ἐγένετο φόνος, καὶ ἐπλήσθη νεκρῶν ἀνδρῶν τε καὶ
great happened slaughter and was-filled of-dead men both and
ἵππων ἀναμίξ. οὐ γὰρ δὴ ὁ Δρᾶος ἐῴκει Σκαμάνδρῳ,
horses mixed not for indeed — Dravus resembled Scamander
οὐδὲ ἦν εὐμενὴς τοῖς φεύγουσιν, ὡς τοὺς μὲν νεκροὺς
nor was kindly to-the fleeing so-as the indeed dead
αὐτοῖς ὅπλοις ἐξωθεῖν καὶ ἀπορριπτεῖν τῶν ῥευμάτων,
with-the-very arms to-push-out and to-throw-off from-the streams

τοὺς ζῶντας δὲ ξυγκαλύπτειν καὶ ἀποκρύπτειν ἀσφαλῶς
the living but to-cover and to-hide safely
ταῖς δίναις. τοῦτο γὰρ ὁ ποταμὸς ὁ Τρὼς τυχὸν μὲν
in-the eddies this for the river the Trojan perhaps indeed
ὑπὸ εὐνοίας ἕδρα, τυχὸν δὲ οὕτως ἔχων μεγέθους, ὡς
from goodwill did perhaps but so being of-greatness as
ῥᾴδιον παρέχειν βαδίζειν τε ἐθέλοντι καὶ νηχομένῳ τὸν
easy to-provide to-walk both for-one-wishing and for-one-swimming the
πόρον· ἐπεὶ καὶ γεφυροῦται μιᾶς ἐμβληθείσης εἰς αὐτὸν
crossing since also it-is-bridged one thrown into it
πτελέας, ἅπας τε ἀναμορμύρων ἀφρῷ καὶ αἵματι πλάζ'
elm all and seething with-foam and blood it-beat
ὦμους Ἀχιλῆος, εἰ χρὴ καὶ τοῦτο πιστεῦσαι, βιαιότερον
shoulders of-Achilles if it-is-needful also this to-believe more-violent
δὲ οὐδὲν εἰργάζετο· καὶ ἐπιλαβόντος ὀλίγου καύματος
but nothing it-did and having-come-on little heat
ἀπαγορεύει τὸν πόλεμον καὶ ἐξόμνυται τὴν ἐπικουρίαν.
it-gives-up the war and forswears the aid
Ὁμήρου δὲ ἔοικεν εἶναι καὶ τοῦτο παίγνιον, καινὸν καὶ 10
of-Homer but it-seems to-be also this plaything new and
ἄτοπον μονομαχίας τρόπον ἐπινοήσαντος. ἐπεὶ καὶ τἆλλα
strange of-single-combat manner having-devised since also the-other-things
δῆλός ἐστιν Ἀχιλλεῖ χαριζόμενος, καὶ ὥσπερ θεατὰς ἄγων
evident he-is to-Achilles gratifying and as spectators leading
τὸ στράτευμα μόνον ἄμαχον καὶ ἀνυπόστατον ἐπάγει
the army alone unconquerable and irresistible brings-against
τοῖς πολεμίοις, κτείνοντα μὲν τοὺς ἐντυγχάνοντας,
the enemies killing indeed those encountering
τρεπόμενον δὲ ἁπαξαπλῶς πάντας φωνῇ καὶ σχήματι καὶ
routing but all-together all by-voice and figure and
τῶν ὀμμάτων ταῖς προσβολαῖς, ἀρχομένης τε οἶμαι τῆς
of-the eyes by-the glances beginning both I-think the

παρατάξεως καὶ ἐπὶ τοῦ Σκαμάνδρου ταῖς ᾐόσιν, ἕως εἰς τὸ
battle and on — of-Scamander the banks until into the
τεῖχος ἄσμενοι ξυνελέγησαν οἱ διαφυγόντες. ταῦτα ἐκεῖνος
wall gladly gathered those having-escaped these-things he
πολλοῖς ἔπεσι διηγούμενος καὶ θεῶν ἀναπλάττων μάχας
in-many verses narrating and of-gods fashioning battles
καὶ ἐπικοσμῶν μύθοις τὴν ποίησιν δεκάζει τοὺς κριτὰς καὶ
and adorning with-myths the poetry bribes the judges and
οὐκ ἐπιτρέπει δικαίαν φέρειν καὶ ἀψευδῆ ψῆφον. ὅστις δὲ
not allows just to-cast and truthful vote whoever but
ἐθέλει μηδὲν ὑπὸ τοῦ κάλλους ἐξαπατᾶσθαι τῶν ῥημάτων
wishes in-nothing by the beauty to-be-deceived of-the words
καὶ τῶν ἔξωθεν ἐπιφερομένων πλασμάτων, ὥσπερ ἐν
and of-the from-outside brought-in fictions as at
ἀρχῇ περὶ ἀρωμάτων τινῶν καὶ χρωμάτων, Ἀρεοπαγίτης
first about perfumes some and colors Areopagite
ἔστω κριτής, καὶ οὐκ εὐλαβησόμεθα τὴν κρίσιν. εἶναι μὲν
let-him-be judge and not we-shall-beware-of the judgment to-be indeed
γὰρ ἀγαθὸν στρατιώτην ὁμολογοῦμεν τὸν Πηλέως, ἐκ
for good soldier we-agree the(-son) of-Peleus from
τῆς ποιήσεως ἀναπειθόμενοι. κτείνει μὲν ἄνδρας εἴκοσι,
the poetry being-persuaded he-kills indeed men twenty

Ζωοὺς δ’ ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
alive and from the-river twelve he-picked youths
Τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠύτε νεβρούς,
whom he-led-out out-of-doors dazed like fawns
Ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος.
penalty of-Patroclus son-of-Menoetius having-died

τοσαύτην μέντοι ἤνεγκεν εἰς τὰ πράγματα τῶν Ἀχαιῶν
so-great however brought to the affairs of-the Achaeans
ἡ νίκη τὴν ῥοπήν, ὥστε οὐδὲ μείζονα φόβον τοῖς
the victory the turn so-that not-even greater fear in-the
πολεμίοις ἐνέβαλεν οὐδὲ ἀπογνῶναι ἐς τὸ παντελὲς ὑπὲρ
enemies it-cast nor to-despair into the complete about
σφῶν ἐποίει. καὶ ὑπὲρ τούτων ἆρ᾽ ἑτέρου τινὸς μάρτυρος
themselves made and about these-things then of-other some witness
δεησόμεθα τὸν Ὅμηρον παραλιπόντες; καὶ οὐκ ἀπόχρη
shall-we-need — Homer having-passed-over and not does-it-suffice
τῶν ἐπῶν μνησθῆναι, ἃ πεποίηκεν ἐκεῖνος, ὁπηνίκα
of-the verses to-make-mention which has-composed he when
ἐπὶ τὰς ναῦς ἦλθεν ὁ Πρίαμος φέρων ὑπὲρ τοῦ παιδὸς
to the ships came — Priam bringing for the son
τὰ λύτρα; ἐρομένου γὰρ μετὰ τὰς διαλύσεις, ὑπὲρ ὧν
the ransom having-asked for after the settlement for what
ἀφῖκτο, τοῦ τῆς Θέτιδος υἱέος
he-had-come the — of-Thetis son

Ποσσῆμαρ μέμονας κτερεΐζέμεν Ἕκτορα δῖον,
how-many-days do-you-desire to-bury Hector godlike

τά τε ἄλλα διέξεισι καὶ περὶ τοῦ πολέμου φησί·
the both other-things he-goes-through and about the war he-says

Τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴπερ ἀνάγκη.
on-the and twelfth we-shall-fight if-indeed necessity

οὕτως οὐδὲ ἐπαγγέλλειν ὀκνεῖ μετὰ τὴν ἐκεχειρίαν τὸν
so not-even to-announce he-hesitates after the truce the
πόλεμον. ὁ δὲ ἀγεννὴς καὶ δειλὸς τύραννος ὄρη τε
war the but ignoble and cowardly tyrant mountains both

ὑψηλὰ προυτείνετο τῆς αὐτοῦ φυγῆς καὶ ἐξοικοδομήσας ἐπ'
high put-forward of-the his-own flight and having-built on
αὐτοῖς φρούρια οὐδὲ τῇ τῶν τόπων ὀχυρότητι πιστεύει,
them forts not-even in-the of-the places strength trusts
ἀλλὰ ἱκετεύει συγγνώμης τυγχάνειν. καὶ ἔτυχεν ἄν,
but supplicates pardon to-obtain and would-have-obtained —
εἴπερ ἦν ἄξιος καὶ μὴ ἐφωράθη πολλάκις ἄπιστος
if-indeed he-was worthy and not had-been-caught often faithless
καὶ θρασύς, ἄλλα ἐπ' ἄλλοις προστιθεὶς ἀδικήματα.
and bold others upon others adding wrongs

IV · NISIBIS RETOLD

Set against Ajax's defense of the ships, Julian retells the siege of Nisibis. A vast army of Parthians and Indians surrounded the city, walled it with mounds, and let the Mygdonius in to make a lake, attacking for some four months with ships and engines. When part of the mound burst and a hundred cubits of wall fell, the king, enthroned on a mound like Xerxes, sent his cavalry and elephants bearing iron towers full of archers. The horsemen sank in the mud of the old ditch and were slaughtered, and the elephants, a spectacle for the townsmen, were wounded and withdrawn.

11 Τὰ μὲν δὴ κατὰ τὴν μάχην, εἰ μὴ δόξῃ τις
the-things indeed indeed concerning the battle if not to-opinion anyone
τῶν διηγουμένων προσέχειν ἐθέλοι μηδὲ ἔπεσιν εὖ
of-those narrating to-attend should-wish nor to-verses well
πεποιημένοις, ἐς αὐτὰ δὲ ὁρᾶν τὰ ἔργα, κρινέτω. ἑξῆς
composed to themselves but to-look the deeds let-him-judge next
δ', εἰ βούλεσθε τὴν Αἴαντος ὑπὲρ τῶν νεῶν καὶ τὴν ἐπὶ
and if you-wish the of-Ajax for the ships and the on
τοῦ τείχους τῶν Ἀχαιῶν ἀντιθεῖναι μάχην τοῖς ἐπὶ τῆς
the wall of-the Achaeans to-set-against battle to-the at the

πόλεως ἐκείνης ἔργοις· ᾗ δὴ Μυγδόνιος ποταμῶν
city that deeds to-which indeed Mygdonius of-rivers
κάλλιστος τὴν αὑτοῦ προστίθησι φήμην, οὔσῃ δὲ καὶ
fairest the its-own adds fame being and also
Ἀντιόχου βασιλέως ἐπωνύμῳ· γέγονε δὲ αὐτῇ καὶ ἕτερον
of-Antiochus king named has-come and to-it also other
ὄνομα βάρβαρον, σύνηθες τοῖς πολλοῖς ὑπὸ τῆς πρὸς τοὺς
name barbarian familiar to-the many from the toward the
τῇδε βαρβάρους ἐπιμιξίας· ταύτην δὴ τὴν πόλιν στρατὸς
here barbarians intercourse this indeed the city army
ἀμήχανος πλήθει Παρθυαίων ξὺν Ἰνδοῖς περιέσχεν,
unmanageable in-multitude of-Parthians with Indians surrounded
ὁπηνίκα ἐπὶ τὸν τύραννον βαδίζειν προύκειτο· καὶ
when against the tyrant to-march it-was-set-before-him and
ὅπερ Ἡρακλεῖ φασιν ἐπὶ τὸ Λερναῖον ἰόντι θηρίον
which-very to-Heracles they-say to the Lernaean going beast
συνενεχθῆναι, τὸν θαλάττιον καρκίνον, τοῦτο ἦν ὁ
to-have-befallen the sea crab this was the
Παρθυαίων βασιλεὺς ἐκ τῆς ἠπείρου Τίγρητα διαβὰς
of-Parthians king from the mainland Tigris having-crossed
καὶ περιτειχίζων τὴν πόλιν χώμασιν· εἶτα εἰς ταῦτα
and walling-round the city with-mounds then into these
δεχόμενος τὸν Μυγδόνιον λίμνην ἀπέφηνε τὸ περὶ τῷ
receiving — Mygdonius lake rendered the about the
ἄστει χωρίον καὶ ὥσπερ νῆσον ἐν αὐτῇ συνεῖχε τὴν πόλιν,
town place and like island in it held the city
μικρὸν ὑπερεχουσῶν καὶ ὑπερφαινομένων τῶν ἐπάλξεων.
little projecting and showing-above the battlements
ἐπολιόρκει δὲ ναῦς τε ἐπάγων καὶ ἐπὶ νεῶν μηχανάς·
he-besieged and ships both bringing-up and on ships engines
καὶ ἦν οὐχ ἡμέρας ἔργον, μηνῶν δὲ οἶμαι σχεδόν τι
and it-was not of-day work of-months but I-think nearly somewhat

τεττάρων. οἱ δὲ ἐν τῷ τείχει συνεχῶς ἀπεκρούοντο τοὺς
four they but on the wall continually beat-off the
βαρβάρους καταπιμπράντες τὰς μηχανὰς τοῖς πυρφόροις·
barbarians burning the engines with-the fire-darts
ναῦς δὲ ἀνεῖλκον πολλὰς μὲν ἐκ τοῦ τείχους, ἄλλαι
ships and hauled-up many indeed from the wall others
δὲ κατεάγνυντο ὑπὸ ῥώμης τῶν ἀφιεμένων ὀργάνων
and were-shattered by force of-the let-loose machines
καὶ βάρους τῶν βελῶν. ἐφέροντο γὰρ εἰς αὐτὰς λίθοι
and weight of-the missiles were-borne for against them stones
ταλάντων ὁλκῆς Ἀττικῶν ἑπτά. καὶ ἐπειδὴ συχναῖς
of-talents of-weight Attic seven and when for-many
ἡμέραις ταῦτ' ἐδρᾶτο, ῥήγνυται μέρος τοῦ χώματος
days these-things were-done breaks part of-the mound
καὶ ἡ τῶν ὑδάτων εἰσρεῖ πλήμμυρα, καὶ ἐπ' αὐτῇ τοῦ
and the of-the waters flows-in flood and with it of-the
τείχους μέρος οὐκ ἔλασσον πήχεων ἑκατὸν συγκατηνέχθη.
wall part not less of-cubits hundred was-brought-down-with
Ἐνταῦθα κοσμεῖ τὴν στρατιὰν τὸν Περσικὸν τρόπον.
then he-orders the army the Persian way
διασώζουσι γὰρ καὶ ἀπομιμοῦνται τὰ Περσικὰ οὐκ
preserve for also imitate the Persian-things not
ἀξιοῦντες, ἐμοὶ δοκεῖν, Παρθυαῖοι νομίζεσθαι, Πέρσαι δὲ
deeming-fit to-me to-seem Parthians to-be-thought Persians but
εἶναι προσποιούμενοι. ταῦτά τοι καὶ στολῇ Μηδικῇ
to-be claiming for-these-reasons you-know also in-dress Median
χαίρουσι. καὶ ἐς μάχας ἔρχονται ὁμοίως ἐκείνοις ὅπλοις
rejoice and into battles go like them arms
τε ἀγαλλόμενοι τοιούτοις καὶ ἐσθήμασιν ἐπιχρύσοις καὶ
both glorying-in such and garments gilded and
ἁλουργέσι. σοφίζονται δὲ ἐντεῦθεν τὸ μὴ δοκεῖν ἀφεστάναι
purple they-contrive and thence the not to-seem to-have-revolted

Μακεδόνων, ἀναλαβεῖν δὲ τὴν ἐξ ἀρχαίου βασιλείαν
from-Macedonians to-take-up but the from of-old kingship
προσήκουσαν. οὐκοῦν καὶ ὁ βασιλεὺς Ξέρξην μιμούμενος
belonging therefore also the king Xerxes imitating
ἐπί τινος χειροποιήτου καθῆστο γηλόφου, προῆγε δὲ ἡ
on some hand-made sat mound advanced and the
στρατιὰ ξὺν τοῖς θηρίοις. ταῦτα δὲ ἐξ Ἰνδῶν εἵπετο,
army with the beasts these and from Indians followed
καὶ ἔφερεν ἐκ σιδήρου πύργους τοξοτῶν πλήρεις. ἡγοῦντο
and carried of iron towers of-archers full led
δὲ αὐτῶν ἱππεῖς οἱ θωρακοφόροι καὶ οἱ τοξόται, ἕτερον
and them horsemen the cuirassiers and the archers other
ἱππέων πλῆθος ἀμήχανον. τὸ πεζὸν γάρ σφιν ἀχρεῖον
of-horsemen multitude unmanageable the foot-soldiers for for-them useless
ἐς τὰ πολεμικὰ καθέστηκεν οὔτε ἐντίμου μετέχον τάξεως
for the warlike-things has-become neither honorable sharing rank
οὔτε ὂν σφιν ἐν χρείᾳ, πεδιάδος οὔσης καὶ ψιλῆς τῆς
nor being for-them in use level being and bare the
χώρας ὁπόσην νέμονται. ἔοικε γὰρ δὴ τὰ τοιαῦτα πρὸς
country as-much-as they-occupy seems for indeed the such-things according-to
τὰς τοῦ πολέμου χρείας τιμῆς καὶ ἀτιμίας ἀξιοῦσθαι.
the of-the war needs of-honor and dishonor to-be-deemed-worthy
ὡς οὖν ἀχρεῖον τῇ φύσει οὐδὲ ἐκ τῶν νόμων πολυωρίας
as then useless by-the nature not-even from the laws of-regard
ἀξιοῦται. συνέβη δὲ οὕτω καὶ περὶ τὴν Κρήτην καὶ
is-deemed-worthy it-happened and so also about — Crete and
Καρίαν καὶ ἐν ἄλλοις δὲ μυρίοις ἔθνεσι τὰ περὶ τὸν
Caria and in other and countless nations the-things concerning the
πόλεμον κατασκευασθῆναι. οὐκοῦν καὶ ἡ Θετταλῶν οὖσα
war to-be-arranged therefore also the of-Thessalians being
πεδιὰς ἱππεῦσιν ἐναγωνίζεσθαι καὶ ἐμμελετᾶν ἐπιτήδειος
plain for-horsemen to-contend and to-practice suitable

ἐφάνη. τὰ γὰρ δὴ τῆς ἡμετέρας πόλεως, ἅτε
appeared the-things for indeed of-the our city inasmuch-as
ἐς ἀντιπάλους παντοδαποὺς καταστάντα, εὐβουλίᾳ καὶ
against opponents of-all-kinds set by-good-counsel and
τύχῃ περιγενόμενα, εἰκότως ἐς ἅπαν εἶδος ὅπλων τε καὶ
fortune prevailing fittingly to every form of-arms both and
παρασκευῆς ἄλλης ἡρμόσθη.
of-equipment other was-adapted
Ἀλλὰ ταῦτα μὲν ἴσως οὐδὲν πρὸς τὸν λόγον, ὡς ἂν εἴποιεν
but these-things indeed perhaps nothing to the speech as — would-say
οἱ ταῖς τῶν ἐπαίνων τέχναις καθάπερ νόμοις ἐπιτεταγμένοι·
those to-the of-the praises arts like laws subjected
ἐγὼ δὲ εἰ μέν τί σοι προσήκει καὶ τούτων, ἐν καιρῷ
I but if indeed anything for-you befits also of-these in season
σκέψομαι, τά γε μὴν ὀνείδη τῶν ἀνθρώπων οὐ χαλεπῶς
I-shall-consider the indeed indeed reproaches of-the men not with-difficulty
ἀπολύομαι. φημὶ γὰρ ὡς οὔτε ἐγὼ τῶν τεχνῶν μεταποιοῦμαι
I-clear-myself-of I-say for that neither I to-the arts lay-claim
οὔτε ὅστις μή τισιν ὡμολόγησεν ἐμμενεῖν ἀδικεῖ μὴ
nor whoever not to-some agreed to-be-going-to-abide does-wrong not
φυλάττων ταῦτα· τυχὸν δὲ καὶ ἄλλων οὐκ ἀπορήσομεν
keeping these-things perhaps and also of-others not we-shall-be-at-a-loss
εὐπρεπῶν παραιτήσεων. ἀλλ᾽ οὐ γὰρ ἄξιον μακρότερον εἰς
of-seemly excuses but not for worthy longer for
οὐδὲν δέον ἀπαρτᾶν τὸν λόγον καὶ ἀποπλανᾶσθαι τῆς
nothing needful to-suspend the speech and to-wander from-the
ὑποθέσεως. ἐπαναβῶμεν οὖν αὖθις εἰς ἴχνος καὶ ὅθεν ἐξέβην.
subject let-us-go-up then again into track and whence I-went-out
12 Ἐπειδὴ γὰρ οἱ Παρθυαῖοι κοσμηθέντες ὅπλοις αὐτοί τε
when for the Parthians having-been-equipped with-arms themselves both
καὶ ἵπποι ξὺν τοῖς Ἰνδικοῖς θηρίοις προσῆγον τῷ τείχει,
and horses with the Indian beasts advanced to-the wall

λαμπροὶ ταῖς ἐλπίσιν ὡς αὐτίκα μάλα ἀναρπασόμενοι,
brilliant in-the hopes as at-once very going-to-snatch-up
καὶ ἐδέδοτό σφιν τοῦ πρόσω χωρεῖν τὸ σημεῖον,
and had-been-given to-them of-the forward to-advance the signal
ὠθοῦντο ξύμπαντες, αὐτός τις ἐθέλων πρῶτος ἐσαλέσθαι
they-thrust all himself each wishing first to-leap-on
τὸ τεῖχος καὶ οἴχεσθαι φέρων τὸ ἐπ᾽ αὐτῷ κλέος· εἶναί
the wall and to-go-off carrying the for it glory to-be
τε οὐδὲν ἐτόπαζον δέος· οὐδὲ γὰρ ὑπομενεῖν σφῶν
both nothing they-conjectured fear not-even for to-be-going-to-await their
τὴν ὁρμὴν τοὺς ἔνδον. Παρθυαίοις μὲν τοσοῦτον περιῆν
the onset those inside for-Parthians indeed so-much abounded
ἐλπίδος. οἱ δὲ πυκνήν τε εἶχον τὴν φάλαγγα κατὰ τὸ
of-hope they but dense both had the phalanx at the
διερρηγμένον τοῦ τείχους, καὶ ὑπὲρ τοῦ συνεστῶτος ὁπόσον
broken of-the wall and over the standing-part as-much-as
ἦν ἀχρεῖον πλῆθος ἐν τῇ πόλει κατέστησαν ἀναμίξαντες
was useless multitude in the city they-stationed having-mixed-in
τῶν στρατιωτῶν οὐκ ἐλάττω μοῖραν. ἐπεὶ δὲ οἱ πολέμιοι
of-the soldiers not smaller portion when but the enemies
προσήλαυνον καὶ οὐδὲν ἐπ᾽ αὐτοὺς ἐκ τοῦ τείχους
drove-on and nothing against them from the wall
ἀφίετο βέλος, βεβαιοτέραν εἶχον τὴν ἐλπίδα τοῦ κατ᾽
was-let-fly missile firmer they-had the hope of-the from
ἄκρας αἱρήσειν τὴν πόλιν, καὶ τοὺς ἵππους ἔπαιον μάστιξι
top going-to-take the city and the horses they-struck with-whips
καὶ ᾕμασσον τὰς πλευρὰς τοῖς κέντροις, ἕως ἐποιήσαντο
and bloodied the flanks with-the spurs until they-made
σφῶν κατὰ νώτου τὰ χώματα· ἐπεποίητο δὲ ὑπ᾽ αὐτῶν
their behind back the mounds had-been-made and by them
ἐκεῖνα πρότερον πρὸς τὸ ἐπέχειν τοῦ Μυγδονίου τὰς
those formerly for the to-check — of-Mygdonius the

ἐκροάς, ἰλύς τε ἦν περὶ τὸ χωρίον εὖ μάλα βαθεῖα οὐδὲ
outflows mud and was about the place well very deep not-even
αὐτοῦ παντελῶς ὄντος ὑπὸ τῆς ὕλης καὶ διὰ τὸ πίειραν
itself wholly being by the timber and because-of the fat
εἶναι τὴν γῆν καὶ στέγειν δύνασθαι φύσει τὰς λιβάδας.
to-be the earth and to-hold to-be-able by-nature the springs
ἦν δὲ ἐνταῦθα καὶ παλαιὸν ἔρυμα τῇ πόλει τάφρος εὐρεῖα,
was and there also old bulwark for-the city ditch broad
καὶ ἐν αὐτῇ βαθύτερον συνειστήκει τέλμα. ἁπτομένων δὲ
and in it deeper had-gathered swamp touching and
ἤδη τῶν πολεμίων καὶ ταύτης καὶ διαβαίνειν πειρωμένων,
already the enemies also this and to-cross trying
ἐπεξῆσαν πολλοὶ μὲν ἔνδοθεν, πολλοὶ δὲ ἀπὸ τῶν τειχῶν
sallied-out many indeed from-within many and from the walls
ἔβαλλον τοῖς λίθοις· καὶ αὐτῶν μὲν πολὺς ἐγένετο
struck with-the stones and of-them indeed much happened
φόνος, φυγῇ δὲ ἔτρεπον τοὺς ἵππους ξύμπαντες, τῷ
slaughter to-flight but turned the horses all by-the
μόνον ἐθέλειν καὶ δηλοῦν τὴν γνώμην διὰ τοῦ σχήματος.
only to-wish and to-show the intention through the posture
ἐπιστρεφόντων γὰρ ἔπιπτον εὐθέως καὶ κατέφερον τοὺς
turning for they-fell at-once and brought-down the
ἱππέας· βαρεῖς δὲ ὄντες τοῖς ὅπλοις μᾶλλον ἐνείχοντο
riders heavy and being with-the arms more were-caught
τῷ τέλματι. καὶ αὐτῶν ἐνταῦθα γίνεται φόνος, ὅσος
in-the swamp and of-them there happens slaughter as-great-as
οὔπω πρόσθεν ἐν πολιορκίᾳ τοιαύτῃ γέγονεν.
never before in siege such has-happened
Ἐπεὶ δὲ τὰ τῶν ἱππέων ὧδε ἐπεπράγει, τῶν ἐλεφάντων
when and the-things of-the horsemen thus had-fared with-the elephants
πειρῶνται, καταπλήξεσθαι μᾶλλον οἰόμενοι τῷ ξένῳ τῆς
they-try to-be-going-to-terrify rather thinking by-the strangeness of-the

μάχης· οὐ γὰρ δὴ τοσοῦτον αὐτοῖς τὰ τῶν ὀμμάτων
battle not for indeed so-much for-them the-things of-the eyes
διέφθαρτο, ὡς μὴ καθορᾶν βαρύτερον μὲν ὂν ἵππου
had-been-ruined as not to-perceive heavier indeed being than-horse
τὸ θηρίον, φέρον δὲ ἄχθος οὐχ ἵππων δυοῖν ἢ πλειόνων,
the beast carrying but burden not of-horses two or more
ἁμαξῶν δὲ οἶμαι συχνῶν, τοξότας καὶ ἀκοντιστὰς καὶ
of-wagons but I-think many archers and javelin-men and
σιδηροῦν πύργον. ταῦτα δὲ ἦν ἅπαντα πρὸς τὸ χωρίον
iron tower these-things and were all for the place
χειροποίητον γεγονὸς τέλμα κωλύματα, καὶ ἦν αὐτοῖς ἔργῳ
hand-made having-become swamp hindrances and were to-them in-deed
φανερά· ὅθεν οὐκ εἰκὸς εἰς μάχην ἰέναι, ἀλλὰ ἐς κατάπληξιν
manifest whence not likely into battle to-go but for terror
τῶν ἔνδον παρασκευάζεσθαι. προσῆγον δὲ ἐν τάξει μέτρον
of-those inside to-be-prepared they-advanced and in order measure
διεστῶτες ἀλλήλων ἴσον, καὶ ἐῴκει τείχει τῶν Παρθυαίων
standing-apart from-one-another equal and resembled wall of-the Parthians
ἡ φάλαγξ· τὰ μὲν θηρία τοὺς πύργους φέροντα, τῶν
the phalanx the indeed beasts the towers carrying of-the
ὁπλιτῶν δὲ ἀναπληρούντων τὰ ἐν μέσῳ. ταχθέντες
hoplites but filling-up the-spaces in middle drawn-up
δὲ οὕτως οὐ μέγα ὄφελος ἦσαν τῷ βαρβάρῳ· παρεῖχον
and so not great benefit were to-the barbarian they-provided
γὰρ ἡδονὴν καὶ τέρψιν τοῖς ἐκ τοῦ τείχους θεωμένοις.
for pleasure and delight to-those from the wall watching
ὡς δὲ ἐγένοντο διακορεῖς οἱονεὶ λαμπρᾶς καὶ πολυτελοῦς
when but they-became sated as-if of-brilliant and costly
πομπῆς πεμπομένης, λίθους ἐκ μηχανῶν ἀφιέντες καὶ
procession being-conducted stones from engines letting-fly and
τόξοις βάλλοντες ἐς τὴν τειχομαχίαν προυκαλοῦντο τοὺς
with-bows shooting to the wall-fight they-challenged the

βαρβάρους. φύσει δὲ ὄντες εἰς ὀργὴν ὀξύρροποι καὶ δεινὸν
barbarians by-nature and being to anger quick-inclined and terrible
ποιούμενοι τὸ γέλωτα ὀφλῆσαι καὶ ἀπαγαγεῖν ὀπίσω τὴν
deeming the laughter to-incur and to-lead-away back the
παρασκευὴν ἄπρακτον, ἐγκελευομένου σφίσι τοῦ βασιλέως,
preparation unaccomplished urging them the king
προσῆγον τῷ τείχει καὶ ἐβάλλοντο πυκνοῖς τοῖς λίθοις καὶ
they-advanced to-the wall and were-struck by-dense the stones and
τοῖς τοξεύμασι· καὶ ἐτρώθη τῶν θηρίων τινὰ καὶ ἀπέθανεν
the arrows and were-wounded of-the beasts some and died
κατενεχθέντα ὑπὸ τῆς ἰλύος. δείσαντες δὲ καὶ ὑπὲρ τῶν
borne-down by the mud fearing and also for the
ἄλλων ἀπῆγον ὀπίσω πάλιν εἰς τὸ στρατόπεδον.
others they-led-away back again into the camp

V · THE SIEGE ENDS; GOD AS OUR GUIDE

The Persian king kept his archers shooting at the breach, but in a day and a night a new wall rose behind it; he withdrew with heavy losses, blamed and killed his satraps, and has kept the peace since. The Greeks at Troy yielded their wall and ships, while these defenders held a broken wall. Hector's noblest deed was breaking a wall built in a day, and Homer himself shows him shrinking: Zeus drew him out of danger, and he left the battle to bid his mother pray. A king should serve the gods himself. Altering Plato's saying a little, Julian holds that the man best prepared for life is one whose happiness hangs on God; Plato's "himself" means the mind, the god within us. Julian excuses his sprinkling of Plato's words.

13 Ὡς δὲ καὶ ταύτης ὁ Παρθυαῖος ἥμαρτε τῆς πείρας, τοὺς
when and also this the Parthian missed the attempt the
τοξότας διελὼν εἰς μοίρας διαδέχεσθαί τε ἀλλήλους
archers having-divided into portions to-relieve both one-another
κελεύει καὶ συνεχῶς βάλλειν πρὸς τὸ διερρηγμένον τοῦ
he-bids and continually to-shoot at the broken of-the

τείχους, ὡς μὴ δυνηθεῖεν ἀποικοδομῆσαι καὶ ἔχειν
wall so-that not they-might-be-able to-wall-up and to-hold
ἀσφαλῶς τὴν πόλιν· οὕτω γὰρ αἱρήσειν λαθὼν
safely the city so for to-be-going-to-take having-escaped-notice
ἢ βιασάμενος τῷ πλήθει τοὺς ἔνδον ἤλπιζε. ἀλλὰ μάταιον
or having-forced by-the multitude those inside he-hoped but vain
γὰρ ἀπέφηνεν ἡ βασιλέως παρασκευὴ τοῦ βαρβάρου τὸ
for rendered the of-king preparation of-the barbarian the
διανόημα. κατὰ νώτου γὰρ τῶν ὁπλιτῶν ἕτερον τεῖχος
intention behind back for of-the hoplites other wall
εἰργάζετο· ὁ δὲ ᾤετο τοῖς ἀρχαίοις ἴχνεσιν ἐς τὰ θεμέλια
was-being-built he but thought the ancient tracks for the foundations
χρωμένους μέλλειν ἔτι. ἡμέρᾳ δὲ ὅλῃ καὶ νυκτὶ συνεχῶς
using to-delay still in-a-day but whole and night continually
ἐργασαμένων ἔστε ἐπὶ τέτταρας πήχεις ὕψους ἠγείρετο,
having-worked until to four cubits of-height it-was-raised
καὶ ἕωθεν ὤφθη λαμπρὸν καὶ νεουργές, ἐκείνων οὐδὲ
and at-dawn was-seen brilliant and newly-made they not-even
ἀκαρῆ χρόνον ἐνδιδόντων, διαδεχομένων δὲ ἀλλήλους καὶ
tiny time giving-way relieving but one-another and
ἀκοντιζόντων ἐς τοὺς ἐφεστῶτας τῷ κειμένῳ τείχει, τοῦτο
burling-javelins at those standing-on the lying wall this
ἐξέπληξε δεινῶς τὸν βάρβαρον. οὐ μὴν ἀπῆγεν εὐθὺς
amazed terribly the barbarian not indeed he-led-away at-once
τὴν στρατιάν, ἀλλ᾽ αὖθις τοῖς αὐτοῖς χρῆται παλαίσμασι.
the army but again the same uses wrestling-tricks
δράσας δὲ οἶμαι καὶ παθὼν παραπλήσια ἀπῆγε τὴν
having-done but I-think and having-suffered similar-things he-led-away the
στρατιὰν ὀπίσω, πολλοὺς μὲν ὑπὸ τῆς ἐνδείας δήμους
army back many indeed by the want peoples
ἀπολέσας, πολλὰ δὲ ἀναλώσας περὶ τοῖς χώμασι καὶ τῇ
having-lost many and having-spent about the mounds and the

πολιορκίᾳ σώματα, σατράπας δὲ ἀνελὼν συχνούς, ἄλλον
siege bodies satraps and having-killed many other
ἄλλο ἐπαιτιώμενος, τὸν μὲν ὅτι μὴ καρτερῶς ἐπεποίητο
for-other blaming the(-one) indeed that not strongly had-been-made
τὰ χώματα, εἶξε δὲ καὶ ἐπεκλύσθη παρὰ τῶν ποταμίων
the mounds yielded and and was-washed-away by the river
ῥευμάτων, τὸν δὲ ὡς φαύλως ἀγωνισάμενον ὑπὸ τοῖς
streams the(-other) but as meanly having-fought under the
τείχεσι, καὶ ἄλλους ἄλλας ἐπάγων αἰτίας ἔκτεινεν. ἔστι
walls and others other bringing-against charges he-killed it-is
γὰρ εὖ μάλα τοῖς κατὰ τὴν Ἀσίαν βαρβάροις σύνηθες ἐς
for well very to-the in — Asia barbarians customary onto
τοὺς ὑπηκόους τὰς αἰτίας τῆς δυσπραγίας ἀποσκευάζεσθαι,
the subjects the causes of-the misfortune to-get-rid-of
ὃ δὴ καὶ τότε δράσας ἀπιὼν ᾤχετο. καὶ ἄγει πρὸς ἡμᾶς
which indeed also then having-done going-away he-went and keeps toward us
εἰρήνην ἐκ τούτου, καὶ οὔτε ὅρκων οὔτε συνθηκῶν ἐδέησεν,
peace from this and neither of-oaths nor of-treaties there-was-need
ἀγαπᾷ δὲ οἴκοι μένων, εἰ μὴ στρατεύοιτο βασιλεὺς ἐπ᾽
is-content but at-home remaining if not should-campaign king against
αὐτὸν καὶ δίκην ἀπαιτοίη τοῦ θράσους καὶ τῆς ἀπονοίας.
him and penalty should-demand of-the boldness and of-the madness
Ἆρά γε ἄξιον ταύτην παραβαλεῖν τὴν μάχην ταῖς ὑπὲρ
then indeed worthy this to-compare the battle with-the for
τῶν νεῶν τῶν Ἑλληνικῶν καὶ τοῦ τείχους; ἀθρεῖτε δὲ
the ships the Greek and the wall view and
ὧδε τὴν ὁμοιότητα καὶ τὸ διάφορον λογίζεσθε. Ἑλλήνων
thus the likeness and the difference reckon of-Greeks
μὲν Αἴαντε καὶ οἱ Λαπίθαι καὶ Μενεσθεὺς τοῦ τείχους
indeed the-two-Ajaxes and the Lapiths and Menestheus the wall
εἶξαν καὶ περιεῖδον τὰς πύλας συντριβομένας ὑφ᾽ Ἕκτορος
yielded and allowed the gates being-shattered by Hector

καὶ τῶν ἐπάλξεων ἐπιβεβηκότα τὸν Σαρπηδόνα. οἱ δὲ
and the battlements having-mounted — Sarpedon they but
οὐδὲ διαρραγέντος αὐτομάτως τοῦ τείχους ἐνέδοσαν, ἀλλὰ
not-even having-been-broken of-itself the wall gave-way but
ἐνίκων μαχόμενοι καὶ ἀπεκρούοντο Παρθυαίους ξὺν Ἰνδοῖς
they-won fighting and beat-off Parthians with Indians
ἐπιστρατεύσαντας. εἶτα ὁ μὲν ἐπιβὰς τῶν νεῶν ἀπὸ
having-campaigned-against then he indeed having-mounted the ships from
τῶν ἰκρίων ὥσπερ ἐρύματος πεζὸς διαγωνίζεται, οἱ δὲ
the decks as bulwark on-foot fights-it-out they but
πρότερον ἀπὸ τῶν τειχῶν ἐναυμάχουν, τέλος δὲ οἱ μὲν
formerly from the walls fought-at-sea finally and they indeed
τῶν ἐπάλξεων εἶξαν καὶ τῶν νεῶν, οἱ δὲ ἐνίκων ναυσί
the battlements yielded and the ships they but defeated with-ships
τε ἐπιόντας καὶ πεζῇ τοὺς πολεμίους.
both attacking and on-foot the enemies
ἀλλὰ γὰρ εὖ ποιῶν ὁ λόγος ἐπὶ τὸν Ἕκτορα καὶ 14
but for well doing the speech to — Hector and
τὸν Σαρπηδόνα, οὐκ οἶδα ὅπως, ὑπηνέχθη καὶ ἐπ᾽ αὐτό
— Sarpedon not I-know how was-carried and to the-very
γέ φασι τῶν ἔργων τὸ κεφάλαιον, τὴν καθαίρεσιν τοῦ
indeed they-say of-the deeds the head the demolition of-the
τείχους, ὃ μιᾷ πρότερον ἡμέρᾳ τοὺς Ἀχαιούς φησι, τοῦ
wall which in-one before day the Achaeans he-says the
Πυλίου δημαγωγοῦ καὶ βασιλέως ξυμπείθοντος, ἄρρηκτον
Pylian orator and king persuading unbreakable
νηῶν τε καὶ αὐτῶν εἶλαρ κατασκευάσασθαι.
of-ships both and themselves shelter to-have-built
Σχεδὸν γάρ μοι τοῦτο φαίνεται τὸ γενναιότατον τῶν
nearly for to-me this appears the noblest of-the
ἔργων Ἕκτορος, καὶ οὐχὶ Γλαύκου τέχνης συνεῖναι οὐδὲ
deeds of-Hector and not of-Glaucus art to-understand nor

σοφωτέρας ἐπινοίας δεῖται, Ὁμήρου σαφῶς διδάσκοντος,
of-wiser device it-needs Homer clearly teaching
ὡς Ἀχιλλέως μὲν φανέντος
that Achilles indeed having-appeared

ἐδύσετο οὐλαμὸν ἀνδρῶν.
he-plunged-into throng of-men

Ἀγαμέμνονος δὲ τοῖς Τρωσὶν ἐπικειμένου καὶ ἐς τὸ τεῖχος
Agamemnon but on-the Trojans pressing and into the wall
καταδιώξαντος Ἕκτορα ὕπαγε Ζεύς, ἵνα ἀποσώζοιτο καθ'
having-chased-down Hector withdrew Zeus so-that he-might-be-saved at
ἡσυχίαν. προσπαίζων δὲ αὐτὸν ὁ ποιητὴς καὶ καταγελῶν
leisure making-sport-of and him the poet and mocking
τῆς δειλίας ὑπὸ τῇ φηγῷ καὶ πρὸς ταῖς πύλαις ἤδη
the cowardice under the oak and at the gates already
καθημένῳ τὴν Ἶριν ἥκειν ἔφη παρὰ τοῦ Διὸς φράζουσαν
sitting — Iris to-come he-said from — Zeus telling

Ὄφρ' ἂν μέν κεν ὁρᾷς Ἀγαμέμνονα ποιμένα λαῶν
as-long-as — indeed — you-see Agamemnon shepherd of-peoples
Θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
raging among the-foremost slaying ranks of-men
Τόφρ' ὑπόεικε μάχης.
so-long withdraw from-battle

πῶς γὰρ εἰκὸς οὕτως ἀγεννῆ καὶ δειλὰ παραινεῖν
how for likely so ignoble and cowardly-things to-advise
τὸν Δία, ἄλλως τε οὐδὲ μαχομένῳ, ξὺν πολλῇ δὲ ἑστῶτι
— Zeus especially — not-even fighting with much but standing
ῥᾳστώνῃ; καὶ ὁπηνίκα δὲ ὁ τοῦ Τυδέως, τῆς Ἀθηνᾶς
ease and when and the(-son) — of-Tydeus — Athena

πολλὴν ἐκ τοῦ κράνους ἀναπτούσης φλόγα, πολλοὺς μὲν
much from the helmet kindling flame many indeed
ἔκτεινε, φεύγειν δὲ ἠνάγκαζε τοὺς ὑπομένοντας, πόρρω
killed to-flee but compelled those standing-firm far
τε ἀφειστήκει τοῦ πολέμου, καὶ πολλὰ ὑπομένων
both he-had-stood-off from-the war and many enduring
ὀνείδη ἀπέγνω μὲν κρατοῦσι τοῖς Ἀχαιοῖς ἀντιστῆναι,
reproaches despaired indeed prevailing the Achaeans to-withstand
εὐπρεπῆ δὲ ποιεῖται τὴν εἰς τὸ ἄστυ πορείαν, ὡς τῇ
seemly but makes the to the town journey as the
μητρὶ παραινέσων ἐξιλεοῦσθαι τὴν Ἀθηνᾶν μετὰ τῶν
mother going-to-advise to-propitiate — Athena with the
Τρωάδων. καίτοι εἰ μὲν αὐτὸς ἱκέτευε πρὸ τοῦ νεὼ
Trojan-women and-yet if indeed himself had-supplicated before the temple
ξὺν τῇ γερουσίᾳ, πολὺν ἂν εἶχε λόγον· προσήκει
with the elders much — he-would-have-had reason it-befits
γὰρ οἶμαι τὸν στρατηγὸν ἢ βασιλέα καθάπερ ἱερέα καὶ
for I-think the general or king like priest and
προφήτην θεραπεύειν ἀεὶ ξὺν κόσμῳ τὸν θεὸν καὶ μηδὲν
prophet to-serve always with order the god and nothing
ὀλιγωρεῖν μηδὲ ἑτέρῳ μᾶλλον προσήκειν ἡγεῖσθαι μηδὲ
to-neglect nor to-another rather to-belong to-think nor
ἐπιτρέπειν, ἀνάξιον αὑτοῦ νομίζοντα τὸ διακόνημα.
to-entrust unworthy of-himself thinking the service
Οἶμαι γὰρ τὴν Πλάτωνος μικρὰ παρατρέψας λέξιν οὐχ 15
I-think for the of-Plato little having-altered phrase not
ἁμαρτήσεσθαι, ὡς ὅτῳ ἀνδρί, μᾶλλον δὲ βασιλεῖ,
to-be-going-to-err that for-whatever man rather but king
ἐς τὸν θεὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν
on the god hang all the-things toward happiness
φέροντα καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν

εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἀναγκάζεται αὐτὸς
well or badly having-fared to-wander is-compelled himself
καὶ τὰ ἐκείνου πράγματα, τούτῳ ἄριστα παρεσκεύασται
and the his affairs for-this-one best has-been-prepared
πρὸς τὸ ζῆν. εἰ δὲ ἐπιτρέποι μηδεὶς μεταγράφειν μηδὲ
for the to-live if and should-allow no-one to-alter nor
ἐκτρέπειν μηδὲ μεταλαμβάνειν τοὔνομα, ἀλλὰ ὥσπερ ἱερὸν
to-divert nor to-change the-name but as shrine
ἀρχαῖον κελεύοι μένειν ἐᾶν ἀκίνητον, οὐδὲ οὕτως ἄλλο
ancient should-bid to-remain to-let-be unmoved not-even so other
τι διανοεῖσθαι τὸν σοφὸν ἐροῦμεν. τὸ γὰρ εἰς ἑαυτὸν
anything to-mean the wise we-shall-say the for on himself
οὐ δήπου τὸ σῶμά φησιν οὐδὲ τὰ χρήματα οὐδὲ εὐγένειαν
not surely the body he-says nor the money nor noble-birth
καὶ δόξαν πατέρων· ταῦτα γὰρ αὐτοῦ μέν τινος οἰκεῖα
and glory of-fathers these-things for his indeed of-someone own
κτήματα, οὐ μήν ἐστι ταῦτα αὐτός· ἀλλὰ νοῦν καὶ
possessions not indeed are these-things himself but mind and
φρόνησιν, φησί, καὶ τὸ ὅλον τὸν ἐν ἡμῖν θεόν· ὃ δὴ
wisdom he-says and in-the whole the in us god which indeed
καὶ αὐτὸς ἑτέρωθι κυριώτατον ἐν ἡμῖν ψυχῆς εἶδος ἔφη,
also himself elsewhere most-sovereign in us of-soul form said
καὶ ὡς ἄρα αὐτὸν δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο
and that then him as-spirit god to-each has-given this
ὃ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ᾽ ἄκρῳ τῷ σώματι,
which indeed we-say to-dwell indeed of-us at top-of the body
πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν.
to but the in heaven kinship from earth us to-lift
ἐς τοῦτο γὰρ ἔοικεν ἐπιτάττειν ἀνηρτῆσθαι χρῆναι
on this for he-seems to-enjoin to-hang to-be-needful
ἑκάστῳ ἀνδρί, καὶ οὐκ εἰς ἄλλους ἀνθρώπους, οἳ τὰ
for-each man and not on other men who the-things

μὲν ἄλλα βλάπτειν καὶ κωλύειν ἐθέλοντες πολλάκις
indeed other to-harm and to-hinder wishing often
ἐδυνήθησαν· ἤδη δέ τινες καὶ μὴ βουλόμενοι τῶν
were-able already and some even not wishing of-the
ἡμετέρων τινὰ παρείλοντο. τοῦτο δὲ ἀκώλυτον μόνον καὶ
our-things some took-away this but unhindered alone and
ἀπαθές ἐστιν, ἐπεὶ μηδὲ θεμιτὸν ὑπὸ τοῦ χείρονος τὸ
unaffected is since not-even lawful by the worse the
κρεῖττον βλάπτεσθαι. ἔστι δὲ καὶ οὗτος ἐκεῖθεν ὁ λόγος.
better to-be-harmed is and also this from-there the saying
ἀλλ' ἔοικα γὰρ καταφορτίζειν ὑμᾶς τοῖς τοῦ Πλάτωνος
but I-seem for to-overload you with-the — of-Plato
λόγοις μικρὰ ἐπιπάττων τῶν ῥημάτων ὥσπερ ἁλῶν ἢ
words little sprinkling-on of-the phrases like of-salt or
χρυσοῦ ψήγματος. τούτων δὲ οἱ μὲν ἡδίω τὴν τροφήν,
of-gold dust of-these and the(-ones) indeed sweeter the food
ὁ δὲ εὐπρεπῆ μᾶλλον παρέχει τὴν θέαν. ἀμφότερα
the(-other) but seemlier rather provides the sight both
δὲ ἐν τοῖς Πλάτωνος λόγοις· καὶ γὰρ αἰσθέσθαι διὰ τῆς
and in the of-Plato words and for to-perceive through the
ἀκοῆς ἡδίους τῶν ἁλῶν καὶ θρέψαι ψυχὴν ξὺν ἡδονῇ καὶ
hearing sweeter than-the salt and to-nourish soul with pleasure and
καθῆραι θαυμαστοί· ὥστε οὐκ ἀποκνητέον οὐδὲ εὐλαβητέον
to-purify wonderful so-that not one-must-shrink nor one-must-beware-of
τὸν ψόγον, εἴ τις ἄρα καταμέμφοιτο τὴν ἀπληστίαν,
the blame if anyone then should-find-fault-with the insatiability
ἢ δαιμόνων, σχήματα περιτιθέντας ἀνθρώπινα καὶ μορφὰς
or of-spirits shapes putting-around human and forms
τοιαύτας, ἀφανῆ μὲν αἰσθήσει καὶ ἀνέφικτον κεκτημένων
such unseen indeed to-sense and unreachable having
αὐτῶν φύσιν, νῷ δὲ ἀκριβεῖ διὰ ξυγγένειαν μόλις
them nature to-mind but exact because-of kinship hardly
προσπίπτουσαν· οὔτι γε καὶ ἐπὶ τῶν ἐμφανῶν θεῶν
falling-in not-at-all indeed also in the visible gods
τοῦτο παθεῖν εὔλογον ἐκείνους, Ἡλίου μὲν ἐπιφημίζοντας
this to-suffer reasonable them of-Helios indeed calling
Αἰήτην υἱέα, Ἑωσφόρου δὲ ἕτερον, καὶ ἄλλους ἄλλων.
Aeetes son of-Eosphorus but another and others of-others
ὅπερ δὲ ἔφην, χρὴ περὶ αὐτῶν πειθομένους ἡμᾶς
which-very but I-said it-is-needful about them being-persuaded us
ταύτην ποιεῖσθαι τὴν ὑπὲρ τῆς εὐγενείας ἐξέτασιν· καὶ ὅτῳ
this to-make the about the noble-birth examination and to-whom
μὲν ἂν ὦσιν ἀγαθοὶ πατέρες καὶ αὐτὸς ἐκείνοις ἐμφερής,
indeed — are good fathers and himself to-them like
τοῦτον ὀνομάζειν θαρρούντως εὐγενῆ· ὅτῳ δὲ τὰ μὲν
this-one to-name confidently noble to-whom but the-things indeed
τῶν πατέρων ὑπῆρξεν ἀρετῆς ἐνδεᾶ, αὐτὸς δὲ μετεποιήθη
of-the fathers were of-virtue lacking himself but laid-claim
τούτου τοῦ κτήματος, τούτου δὲ νομιστέον πατέρα τὸν Δία
to-this the possession of-this-one and one-must-think father — Zeus
καὶ φυτουργόν, καὶ οὐδὲν μεῖον αὐτῷ δοτέον ἐκείνων, οἳ
and planter and nothing less to-him one-must-give than-those who
γεγονότες πατέρων ἀγαθῶν τοὺς σφῶν τοκέας ἐζήλωσαν·
having-been-born from-fathers good the their parents emulated
ὅστις δὲ ἐξ ἀγαθῶν γέγονε μοχθηρός, τοῦτον τοῖς
whoever but from good-men was-born wicked this-one among-the
νόθοις ἐγγράφειν ἄξιον· τοὺς δὲ ἐκ μοχθηρῶν φῦντας
bastards to-enroll worthy those but from wicked-men born

καὶ προσομοίους τοῖς αὐτῶν τοκεῦσιν οὔποτε εὐγενεῖς
and like to-the their-own parents never noble
φατέον, οὐδὲ εἰ πλουτοῖεν ταλάντοις μυρίοις, οὐδὲ
one-must-call not-even if they-should-be-rich with-talents countless nor
εἰ ἀπαριθμοῖντο προγόνους δυνάστας ἢ ναὶ μὰ Δία
if they-should-enumerate ancestors potentates or yes by Zeus
τυράννους εἴκοσιν, οὐδὲ εἰ νίκας Ὀλυμπιακὰς ἢ Πυθικὰς
tyrants twenty nor if victories Olympic or Pythian
ἢ τῶν πολεμικῶν ἀγώνων, αἳ δὴ τῷ παντὶ ἐκείνων
or of-the warlike contests which indeed by-the whole than-those
εἰσὶ λαμπρότεραι, ἀνελομένους ἔχοιεν δείκνυσθαι πλείους
are more-brilliant having-won they-could to-show more
ἢ Καῖσαρ ὁ πρῶτος, ὀρύγματά τε τὰ Ἀσσύρια καὶ τὰ
than Caesar the first canals both the Assyrian and the
Βαβυλωνίων τείχη πυραμίδας τε ἐπ᾽ αὐτοῖς τὰς Αἰγυπτίων,
of-Babylonians walls pyramids both besides them the of-Egyptians
καὶ ὅσα ἄλλα πλούτου καὶ χρημάτων καὶ τρυφῆς
and as-many-as other-things of-wealth and of-money and of-luxury
γέγονε σημεῖα καὶ διανοίας ὑπὸ φιλοτιμίας ἀναφλεγομένης
have-been signs and of-mind by ambition kindled
καὶ ἀπορουμένης ἐς ὅ τι τῷ πλούτῳ χρήσεται, εἶτα
and being-at-a-loss for what thing the wealth it-will-use then
ἐς τοῦτο τὰς τῶν χρημάτων εὐπορίας καταβαλλομένης.
into this the of-the money abundances laying-out
εὖ γὰρ δὴ ἴστε, ὡς οὔτε πλοῦτος ἀρχαῖος ἢ νεωστί
well for indeed know that neither wealth ancient or recently
ποθεν ἐπιρρέων βασιλέα ποιεῖ οὔτε ἁλουργὲς ἱμάτιον
from-somewhere flowing-in king makes nor purple cloak
οὔτε τιάρα καὶ σκῆπτρον καὶ διάδημα καὶ θρόνος ἀρχαῖος,
nor tiara and scepter and diadem and throne ancient
ἀλλ᾽ οὐδὲ ὁπλῖται πολλοὶ καὶ ἱππεῖς μυρίοι, οὐδὲ
but not-even hoplites many and horsemen countless not-even

εἰ πάντες ἄνθρωποι βασιλέα σφῶν τοῦτον ὁμολογοῖεν
if all men king their this-one should-acknowledge
συνελθόντες, ὅτι μηδὲ ἀρετὴν οὗτοι χαρίζονται, ἀλλὰ
having-come-together since not-even virtue these bestow but
δυναστείαν μὲν οὐ μάλα εὐτυχῆ τῷ λαβόντι, πολὺ
dominion indeed not very fortunate for-the(-one) having-received much
δὲ πλέον τοῖς παρασχομένοις. δεξάμενος γὰρ ὁ τοιοῦτος
but more for-those having-provided having-received for the such
αἴρεται μετέωρος ἐπίπαν, οὐδὲν διαφέρων τοῦ περὶ τὸν
is-lifted aloft altogether in-nothing differing from-the about —
Φαέθοντα μύθου καὶ πάθους. καὶ οὐδὲν ἑτέρων δεῖ
Phaethon myth and fate and in-no-way of-other is-there-need
παραδειγμάτων πρὸς πίστιν τῷ λόγῳ, τοῦ βίου παντὸς
examples for proof for-the speech the life whole
ἀναπεπλησμένου τοιούτων παθημάτων καὶ ἐπ᾽ αὐτοῖς λόγων.
having-been-filled with-such sufferings and on them words
ὑμῖν δὲ εἰ θαυμαστὸν δοκεῖ τὸ μὴ δικαίως μεταποιεῖσθαι τῆς 27
to-you but if wonderful seems the not justly to-lay-claim to-the
καλῆς ταύτης καὶ θεοφιλοῦς ἐπωνυμίας τοὺς πολλῆς μὲν γῆς
fine this and god-loved title those of-much indeed land
καὶ ἐθνῶν ἀπείρων ἄρχοντας, γνώμῃ δὲ αὐτεξουσίῳ δίχα
and nations countless ruling by-judgment but self-willed without
νοῦ καὶ φρονήσεως καὶ τῶν ταύτῃ ξυνεπομένων ἀρετῶν
mind and wisdom and the with-this following virtues
τὰ προστυχόντα κρίνοντας· ἵστε οὐδὲ ἐλευθέρους ὄντας,
the-things chancing judging know not-even free being
οὐ μόνον εἰ τὰ παρόντα οὐδενός σφισιν ἐμποδὼν ὄντος
not only if the present-things nothing to-them in-the-way being
ἔχοιεν καὶ ἐμφοροῖντο τῆς ἐξουσίας, ἀλλὰ καὶ εἰ τῶν
they-should-have and should-take-their-fill of-the license but also if those
ἐπιστρατευόντων κρατοῖεν καὶ ἐπιόντες ἀνυπόστατοί
campaigning-against they-should-overcome and attacking irresistible

τινες καὶ ἄμαχοι φαίνοιντο. εἰ δὲ ἀπιστεῖ τις ὑμῶν τῷ
some and unconquerable should-appear if but disbelieves anyone of-you the
λόγῳ τῷδε, μάλα ἐμφανῶν μαρτύρων οὐκ ἀπορήσομεν,
speech this very manifest witnesses not we-shall-be-at-a-loss
Ἑλλήνων ὁμοῦ καὶ βαρβάρων, οἳ μάχας πολλὰς καὶ
of-Greeks together and of-barbarians who battles many and
ἰσχυρὰς λίαν μαχεσάμενοι καὶ νενικηκότες ἔθνη μὲν ἐκτῶντο
strong very having-fought and having-conquered nations indeed acquired
καὶ αὐτοῖς φόρους ἀπάγειν κατηνάγκαζον, ἐδούλευον δὲ
and to-themselves tributes to-bring compelled were-slaves but
αἴσχιον ἐκείνων ἡδονῇ καὶ τρυφῇ καὶ ἀκολασίᾳ καὶ ὕβρει
more-shamefully than-those to-pleasure and luxury and licentiousness and outrage
καὶ ἀδικίᾳ. τούτους δὲ οὐδὲ ἰσχυροὺς ἂν φαίη νοῦν ἔχων
and injustice these but not-even strong — would-call mind having
ἀνήρ, εἰ καὶ ἐπιφαίνοιτο καὶ ἐπιλάμποι μέγεθος τοῖς ἔργοις.
man if even should-appear and should-shine greatness in-the deeds
μόνος γάρ ἐστι τοιοῦτος ὁ μετὰ ἀρετῆς ἀνδρεῖος καὶ
alone for is such the(-one) with virtue brave and
μεγαλόφρων· ὅστις δὲ ἥττων μὲν ἡδονῶν, ἀκράτωρ
high-minded whoever but weaker indeed than-pleasures without-mastery
δὲ ὀργῆς καὶ ἐπιθυμιῶν παντοιῶν, καὶ ὑπὸ σμικρῶν
and of-anger and of-desires of-all-kinds and by small-things
ἀπαγορεύειν ἀναγκαζόμενος, οὗτος δὲ οὐδὲ ἰσχυρὸς οὐδὲ
to-give-up compelled this-one but neither strong nor
ἀνδρεῖος ἀνθρωπίνην ἰσχύν· ἐπιτρεπτέον δὲ ἴσως αὐτῷ κατὰ
brave as-to-human strength one-must-allow but perhaps him like
τοὺς ταύρους ἢ τοὺς λέοντας ἢ τὰς παρδάλεις τῇ ῥώμῃ
the bulls or the lions or the leopards in-the strength
γάνυσθαι, εἰ μὴ καὶ ταύτην ἀποβαλὼν καθάπερ οἱ κηφῆνες
to-exult if not even this having-cast-away like the drones
ἀλλοτρίοις ἐφέστηκε πόνοις, αὐτὸς ὢν μαλθακὸς αἰχμητὴς
over-others' presides toils himself being soft spearman

καὶ δειλὸς καὶ ἀκόλαστος. τοιοῦτος δὲ ὢν οὐ μόνον ἀληθοῦς
and cowardly and licentious such but being not only of-true
ἐνδεὴς πλούτου καθέστηκεν, ἀλλὰ καὶ τοῦ πολυτιμήτου
lacking wealth has-become but also of-the much-honored
καὶ σεμνοῦ καὶ ἀγαπητοῦ, ἐξ οὗ παντοδαπαὶ κρεμάμεναι
and august and beloved from which of-all-kinds hanging
ψυχαὶ πράγματα ἔχουσι μυρία καὶ πόνους, τοῦ καθ' ἡμέραν
souls troubles have countless and toils of-the by day
κέρδους ἕνεκα πλεῖν τε ὑπομένουσαι καὶ καπηλεύειν καὶ
gain for-the-sake to-sail both enduring and to-peddle and
ληστεύειν καὶ ἀναρπάζειν τὰς τυραννίδας. ζῶσι γὰρ ἀεὶ
to-rob and to-snatch the tyrannies they-live for always
μὲν κτώμενοι, ἀεὶ δὲ ἐνδεεῖς, οὔτι τῶν ἀναγκαίων
indeed acquiring always but lacking not-at-all of-the necessary
φημὶ σιτίων καὶ ποτῶν καὶ ἐσθημάτων· ὥρισται γὰρ
I-mean foods and drinks and garments has-been-bounded for
ὁ τοιοῦτος πλοῦτος εὖ μάλα παρὰ τῆς φύσεως, καὶ οὐκ
the such wealth well very by the nature and not
ἔστιν αὐτοῦ στέρεσθαι οὔτε τοὺς ὄρνιθας οὔτε τοὺς ἰχθῦς
it-is-possible of-it to-be-deprived neither the birds nor the fishes
οὔτε τὰ θηρία, ἀλλ' οὐδὲ ἀνθρώπων τοὺς σώφρονας· ὅσους
nor the beasts but not-even of-men the temperate as-many-as
δὲ ἐνοχλεῖ χρημάτων ἐπιθυμία καὶ ἔρως δυστυχής, τούτους
but troubles of-money desire and love unfortunate these
δὲ ἀνάγκη πεινῆν διὰ βίου καὶ ἀθλιώτερον ἀπαλλάττειν
but necessity to-hunger through life and more-wretchedly to-fare
μακρῷ τῶν τῆς ἐφημέρου τροφῆς ἐνδεομένων.
by-far than-those of-the daily food lacking
τούτοις μὲν γὰρ ἀποπλήσασι τὴν γαστέρα πολλὴ γέγονεν
for-these indeed for having-filled the belly much comes
εἰρήνη καὶ ἀνοκωχὴ τῆς ἀλγηδόνος, ἐκείνοις δὲ οὔτε
peace and respite of-the pain for-those but neither

ἡμέρα πέφηνεν ἀκερδὴς ἡδεῖα, οὔτε εὐφρόνη τὸν λυσιμελῆ
day has-appeared without-gain pleasant nor kindly-night the limb-loosening
καὶ λυσιμέριμνον ὕπνον ἐπάγουσα παῦλαν ἐνεποίησε τῆς
and care-loosening sleep bringing cessation produced of-the
ἐμμανοῦς λύττης, στροβεῖ δὲ αὐτῶν καὶ στρέφει τὴν
mad frenzy whirls and their and twists the
ψυχὴν ἐκλογιζομένων καὶ ἀπαριθμουμένων τὰ χρήματα·
soul calculating and counting the money
καὶ οὐκ ἐξαιρεῖται τοὺς ἄνδρας τῆς ἐπιθυμίας καὶ
and not frees the men from-the desire and
τῆς ἐπ᾽ αὐτῇ ταλαιπωρίας οὐδὲ ὁ Ταντάλου καὶ Μίδου
the in it misery neither the of-Tantalus and of-Midas
πλοῦτος περιγενόμενος οὐδὲ ἡ μεγίστη καὶ χαλεπωτάτη
wealth having-accrued nor the greatest and harshest
δαιμόνων τυραννὶς προσγενομένη. ἢ γὰρ οὐκ ἀκηκόατε
of-spirits tyranny having-been-added or for not have-you-heard
Δαρεῖον τὸν Περσῶν μονάρχην, οὐ παντάπασι μοχθηρὸν
Darius the of-Persians monarch not altogether wicked
ἄνθρωπον, δυσέρωτα δὲ αἰσχρῶς εἰς χρήματα καὶ
man passionately-in-love but shamefully with money and
νεκρῶν θήκας ὑπὸ τῆς ἐπιθυμίας διορύττειν καὶ πολυτελεῖς
of-dead tombs by the desire to-dig-through and costly
ἐπιτάττειν φόρους; ὅθεν αὐτῷ τὸ κλεινὸν ὄνομα γέγονε
to-impose tributes whence for-him the famous name came
κατὰ πάντας ἀνθρώπους· ἐκάλουν γὰρ αὐτὸν Περσῶν οἱ
among all men called for him of-Persians the
γνώριμοι ὅτιπερ Ἀθηναῖοι τὸν Σάραμβον.
notables which-very Athenians — Sarambus
28 Ἀλλ᾽ ἔοικε γὰρ ὁ λόγος, ὥσπερ ὁδοῦ τινος κατάντους
but seems for the speech as road some downhill
ἐπιλαβόμενος, ἀφειδῶς ἐμφορεῖσθαι τῆς καταρρήσεως καὶ
having-taken unsparingly to-take-its-fill of-the denunciation and

πέρα τοῦ δέοντος κολάζειν τῶν ἀνδρῶν τοὺς τρόπους,
beyond the needful to-chastise of-the men the ways
ὥστε οὐκ ἐπιτρεπτέον αὐτῷ περαιτέρω φοιτᾶν. ἀπαιτητέον
so-that not one-must-allow it farther to-roam one-must-demand
δὲ εἰς δύναμιν τὸν ἀγαθὸν ἄνδρα καὶ βασιλικὸν καὶ
but as-far-as power the good man and kingly and
μεγαλόφρονα. ἔστι δὲ πρῶτον μὲν εὐσεβὴς καὶ οὐκ
high-minded he-is and first indeed pious and not
ὀλίγωρος θεραπείας θεῶν, εἶτα ἐς τοὺς τοκέας ζῶντάς
neglectful of-service of-gods then toward the parents living
τε οἶμαι καὶ τελευτήσαντας ὅσιος καὶ ἐπιμελής, ἀδελφοῖς
both I-think and having-died holy and careful to-brothers
τε εὔνους, καὶ ὁμογνίους θεοὺς αἰδούμενος, ἱκέταις καὶ
both well-disposed and kindred gods revering to-suppliants and
ξένοις πρᾷος καὶ μείλιχος, τοῖς μὲν ἀγαθοῖς τῶν πολιτῶν
strangers gentle and mild to-the indeed good of-the citizens
ἀρέσκειν ἐθέλων, τῶν πολλῶν δὲ ἐπιμελόμενος ἐν δίκῃ
to-please wishing of-the many but taking-care in justice
καὶ ἐπ᾽ ὠφελείᾳ· ἀγαπᾷ δὲ πλοῦτον, οὔτι τὸν χρυσῷ
and for benefit loves and wealth not-at-all the(-one) with-gold
καὶ ἀργύρῳ βριθόμενον, φίλων δὲ ἀληθοῦς εὐνοίας καὶ
and silver laden of-friends but of-true goodwill and
ἀκολακεύτου θεραπείας μεστόν· ἀνδρεῖος μὲν φύσει καὶ
unflattering service full brave indeed by-nature and
μεγαλοπρεπής, πολέμῳ δὲ ἥκιστα χαίρων καὶ στάσιν
magnificent in-war but least rejoicing and faction
ἐμφύλιον ἀπεχθαίρων, τούς γε μὴν ἔκ τινος τύχης
civil hating those at-least indeed from some fortune
ἐπιφυομένους ἢ διὰ τὴν σφῶν αὐτῶν μοχθηρίαν ἀνδρείως
growing-up-against or because-of the their own wickedness bravely
ὑφιστάμενος καὶ ἀμυνόμενος ἐγκρατῶς, τέλος τε ἐπάγων

τοῖς ἔργοις καὶ οὐ πρότερον ἀφιστάμενος, πρὶν ἂν ἐξέλῃ
to-the deeds and not before standing-off before — he-should-take
τῶν πολεμίων τὴν δύναμιν καὶ ὑποχείριον αὐτῷ ποιήσηται.
of-the enemies the power and subject to-himself should-make
κρατήσας δὲ μετὰ τῶν ὅπλων ἔπαυσε τὸ ξίφος φόνων,
having-prevailed and with the arms stopped the sword from-murders
μίασμα κρίνων τὸν οὐκ ἀμυνόμενον ἔτι κτείνειν
pollution judging the(-one) not defending-himself any-longer to-kill
καὶ ἀναιρεῖν. φιλόπονος δὲ ὢν φύσει καὶ μεγαλόψυχος
and to-destroy toil-loving but being by-nature and great-souled
κοινωνεῖ μὲν ἅπασι τῶν πόνων, καὶ ἔχειν ἐν αὐτοῖς τὸ
shares indeed with-all the toils and to-have in them the
πλέον ἀξιοῖ, μεταδίδωσι δὲ ἐκείνοις τῶν κινδύνων τὰ
greater-share deems-fit imparts but to-them of-the dangers the
ἔπαθλα, χαίρων καὶ γεγηθὼς οὔτι τῷ πλέον ἔχειν τῶν
prizes rejoicing and glad not-at-all in-the more to-have than-the
ἄλλων χρυσίον καὶ ἀργύριον καὶ ἐπαύλεις κόσμῳ
others gold and silver and country-houses with-adornment
πολυτελεῖ κατεσκευασμένας, ἀλλὰ τῷ πολλοὺς μὲν εὖ
costly furnished but in-the many indeed well
ποιεῖν δύνασθαι, χαρίζεσθαι δὲ ἅπασιν ὅτου ἂν τύχωσιν
to-treat to-be-able to-bestow but on-all whatever — they-may-happen
ἐνδεεῖς ὄντες· τούτων αὐτὸν ὅ γε ἀληθινὸς ἀξιοῖ
lacking being of-these himself he indeed true deems-worthy
βασιλεύς. φιλόπολις δὲ ὢν καὶ φιλοστρατιώτης τῶν μὲν
king city-loving and being and soldier-loving the(-ones) indeed
καθάπερ νομεὺς ποιμνίων ἐπιμελεῖται, προνοῶν ὅπως ἂν
like herdsman of-flocks he-cares-for taking-forethought that —
αὐτῷ θάλλῃ καὶ εὐθηνῆται τὰ θρέμματα δαψιλοῦς καὶ
for-him may-flourish and may-thrive the flocks of-abundant and
ἀταράχου τῆς νομῆς ἐμπιμπλάμενα, τοὺς δὲ ἐφορᾷ καὶ
undisturbed the pasture being-filled the(-others) but he-oversees and

συνέχει, πρὸς ἀνδρείαν καὶ ῥώμην καὶ πρᾳότητα γυμνάζων
holds-together toward courage and strength and gentleness training
καθάπερ σκύλακας εὐφυεῖς καὶ γενναίους τῆς ποίμνης
like puppies well-bred and noble of-the flock
φύλακας, ἔργων τε αὑτῷ κοινωνοὺς καὶ ἐπικούρους τῷ
guards of-works both to-himself partners and helpers to-the
πλήθει νομίζων, ἀλλ᾽ οὐχὶ ἁρπακτῆράς τινας οὐδὲ λυμεῶνας
multitude thinking but not robbers some nor destroyers
τῶν ποιμνίων καθάπερ οἱ λύκοι καὶ κυνῶν οἱ φαυλότατοι,
of-the flocks like the wolves and of-dogs the meanest
οἳ τῆς αὑτῶν φύσεως καὶ τροφῆς ἐπιλαθόμενοι ἀντὶ
who of-the their-own nature and nurture having-forgotten instead-of
σωτήρων καὶ προαγωνιστῶν ἀνεφάνησαν αὐτοὶ δηλήμονες·
saviors and champions appeared themselves destroyers
οὐδὲ μὴν ὑπνηλοὺς ἀνέξεται εἶναι καὶ ἀργοὺς καὶ
nor indeed sleepy will-be-endure to-be and idle and
ἀπολέμους, ὅπως ἂν μὴ φυλάκων ἑτέρων οἱ φρουροὶ
unwarlike so-that — not of-guards other the guardians
δέωνται, ἀλλ᾽ οὐδὲ ἀπειθεῖς τοῖς ἄρχουσιν, εἰδὼς ὅτι τοῦτο
may-need but not-even disobedient to-the rulers knowing that this
μάλιστα πάντων, ἔστι δὲ ὅπου καὶ μόνον ἀπόχρη σωτήριον
most of-all is and where and alone suffices saving
ἐπιτήδευμα πρὸς πόλεμον· πόνων δὲ ἁπάντων ἀδεεῖς καὶ
practice for war of-toils but all fearless and
ἀτεράμονας, οὔτι ῥᾳθύμους ἐργάσεται, ἐπιστάμενος ὅτι
tough not-at-all lazy he-will-make knowing that
μὴ μέγα ὄφελος φύλακος τὸν πόνον φεύγοντος καὶ οὐ
not great benefit of-guard the toil fleeing and not
δυναμένου καρτερεῖν οὐδὲ ἀντέχειν πρὸς κάματον.
being-able to-persevere nor to-hold-out against weariness

ταῦτα δὲ οὐ παραινῶν μόνον οὐδὲ ἐπαινῶν τοὺς ἀγαθοὺς
these-things but not advising only nor praising the good
προθύμως καὶ χαριζόμενος ἢ κολάζων ἐγκρατῶς καὶ
eagerly and gratifying or punishing self-controlledly and
ἀπαραιτήτως ξυμπείθει καὶ βιάζεται, ἀλλὰ πολὺ πρότερον
inexorably he-persuades and compels but much before
αὑτὸν τοιοῦτον ἐπιδεικνύων, ἀπεχόμενος μὲν ἡδονῆς
himself such showing abstaining indeed from-pleasure
ἁπάσης, χρημάτων δὲ οὐδὲν οὔτε σμικρὸν οὔτε μεῖζον
every of-money but nothing neither small nor greater
ἐπιθυμῶν καὶ ἀφαιρούμενος τῶν ὑπηκόων, ὕπνῳ τε
desiring and taking-away from-the subjects to-sleep both
εἴκων ὀλίγα καὶ τὴν ἀργίαν ἀποστρεφόμενος, ἀληθῶς
yielding little and the idleness turning-away-from truly
γὰρ οὐδεὶς οὐδενὸς εἰς οὐδὲν ἄξιος καθεύδων ἀνὴρ ἢ
for no-one of-nothing for nothing worthy sleeping man or
καὶ ἐγρηγορὼς τοῖς καθεύδουσιν ἐμφερής. πειθομένους δὲ
even awake to-the sleeping like obedient and
αὐτοὺς ἕξει καλῶς αὑτῷ τε οἶμαι καὶ τοῖς ἄρχουσιν,
them he-will-have well to-himself both I-think and to-the rulers
εἰ τοῖς ἀρίστοις πειθόμενος νόμοις καὶ τοῖς ὀρθοῖς
if to-the best obeying laws and the right
ξυνεπόμενος διατάγμασι δῆλος εἴη, καὶ ὅλως τὴν
following ordinances evident he-should-be and wholly the
ἡγεμονίαν ἀποδοὺς τῷ φύσει βασιλικῷ καὶ ἡγεμονικῷ
leadership having-given to-the by-nature kingly and leading
τῆς ψυχῆς μορίῳ, ἀλλ᾽ οὐ τῷ θυμοειδεῖ καὶ ἀκολάστῳ.
of-the soul part but not to-the spirited and licentious

He hardens his soldiers by his own endurance and sees that they are fed. In the city he removes faction and luxury, guards the laws, and brings in no false law; neither kin nor friends turn him from justice, for law is the sacred offspring of justice. He heals the curable and leaves capital cases to temperate judges who deliberate long, bearing no sword against citizens, like the stingless king of the bees. He imitates God, who banished evils from heaven and set his children to judge and purge them on earth. He gives each man the office his nature suits, tests his counselors as assayers test gold, and, since vice wears virtue's mask, lets the best he has chosen pick the lesser officials.

καὶ καρτερεῖν δὲ καὶ ὑπομένειν τόν τε ἐπὶ στρατιᾶς καὶ 29
also to-persevere and and to-endure the both on campaign and
ἐν τοῖς ὅπλοις κάματον ὁπόσα τε κατὰ τὴν εἰρήνην
in the arms weariness as-many-as both in the peace
ἐξηυρέθη γυμνάσια μελέτης ἕνεκα τῆς πρὸς τοὺς ὀθνείους
were-invented exercises of-practice for-the-sake of-the toward the foreign
ἀγῶνας, πῶς ἄν τις μάλιστα πείσας εἴη, ἢ δῆλον
contests how — anyone most having-persuaded would-be or evident
ὡς αὐτὸς ὁρώμενος καρτερὸς καὶ ἀδαμάντινος; ἔστι γὰρ
that himself being-seen enduring and adamantine is for
ἀληθῶς ἥδιστον θέαμα στρατιώτῃ πονουμένῳ σώφρων
truly sweetest sight to-soldier toiling temperate
αὐτοκράτωρ, συνεφαπτόμενος ἔργων καὶ προθυμούμενος
emperor taking-part-in works and being-eager
καὶ παρακαλῶν καὶ ἐν τοῖς δοκοῦσι φοβεροῖς φαιδρὸς
and exhorting and in the seeming fearful-things cheerful
καὶ ἀδεὴς καὶ ὅπου λίαν θαρροῦσι σεμνὸς καὶ ἐμβριθής.
and fearless and where too-much they-are-bold grave and weighty
πέφυκε γὰρ ἐξομοιοῦσθαι πρὸς τὸν ἄρχοντα τὰ τῶν
it-is-natural for to-be-made-like to the ruler the-things of-the

ὑπηκόων εὐλαβείας πέρι καὶ θράσους. προνοητέον δὲ
subjects caution about and boldness one-must-take-forethought and
αὐτῷ τῶν εἰρημένων οὐ μεῖον ὅπως ἄφθονον τὴν
by-him than-the-things said not less that abundant the
τροφὴν ἔχωσι καὶ οὐδενὸς τῶν ἀναγκαίων ἐνδέωνται.
food they-may-have and of-nothing of-the necessities may-lack
πολλάκις γὰρ οἱ πιστότατοι τῶν ποιμνίων φρουροὶ καὶ
often for the most-faithful of-the flocks guardians and
φύλακες ὑπὸ τῆς ἐνδείας ἀναγκαζόμενοι ἄγριοί τέ εἰσι
guards by the want compelled savage both are
τοῖς νομεῦσι καὶ αὐτοὺς πόρρωθεν ἰδόντες περιυλακτοῦσι
to-the herdsmen and them from-afar having-seen bark-around
καὶ οὐδὲ τῶν προβάτων ἀπέσχοντο.
and not-even from-the sheep they-kept-off
Τοιοῦτος μὲν ἐπὶ στρατοπέδων ὁ γενναῖος, πόλει δὲ
such indeed in camps the noble for-city but
σωτὴρ καὶ κηδεμών, οὔτι τοὺς ἔξωθεν μόνον ἀπείργων
savior and guardian not-at-all the from-outside only warding-off
κινδύνους οὐδὲ ἀντιταττόμενος ἢ καὶ ἐπιστρατεύων
dangers nor arraying-against or also campaigning-against
βαρβάροις γείτοσι· στάσιν δὲ ἐξαιρῶν καὶ ἔθη μοχθηρὰ
barbarians neighboring faction but removing and customs wicked
καὶ τρυφὴν καὶ ἀκολασίαν τῶν μεγίστων κακῶν
and luxury and licentiousness from-the greatest evils
παρέξει ῥᾳστώνην. ὕβριν δὲ ἐξείργων καὶ παρανομίαν
will-provide relief outrage but excluding and lawlessness
καὶ ἀδικίαν καὶ ἐπιθυμίαν ἀμέτρου κτήσεως τὰς ἐκ
and injustice and desire of-measureless acquisition the from
τούτων ἀναφυομένας στάσεις καὶ ἔριδας εἰς οὐδὲν χρηστὸν
these springing-up factions and strifes in nothing good
τελευτώσας οὐδὲ τὴν ἀρχὴν ἀνέξεται φῦναι, γενομένας δὲ
ending not-even the beginning will-be-endure to-grow having-arisen but

ὡς ἔνι τάχιστα ἀφανιεῖ καὶ ἐξελάσει τῆς αὐτοῦ
as is-possible most-quickly he-will-make-vanish and will-drive-out of-the his-own
πόλεως. λήσεται δὲ αὐτὸν οὐδεὶς ὑπερβὰς τὸν
city will-escape-the-notice and him no-one having-transgressed the
νόμον καὶ βιασάμενος, οὐ μᾶλλον ἢ τῶν πολεμίων τις
law and having-forced not more than of-the enemies anyone
τὸν χάρακα. φύλαξ δὲ ὢν ἀγαθὸς τῶν νόμων, ἀμείνων
the palisade guard but being good of-the laws better
ἔσται δημιουργός, εἴ ποτε καιρὸς καὶ τύχη καλοίη· καὶ
he-will-be craftsman if ever occasion and fortune should-call and
οὐδεμία μηχανὴ πείθει τὸν τοιοῦτον ψευδῆ καὶ κίβδηλον καὶ
no device persuades the such false and counterfeit and
νόθον τοῖς κειμένοις ἐπεισάγειν νόμον, οὐ μᾶλλον ἢ τοῖς
bastard to-the established to-introduce law not more than to-the
αὑτοῦ παισὶ δούλειον καὶ ἀγεννὲς ἐπεισαγαγεῖν σπέρμα.
his-own children slavish and ignoble to-introduce seed
δίκης δὲ αὐτῷ μέλει καὶ θέμιδος, καὶ οὔτε γονεῖς οὔτε
of-justice and to-him there-is-care and of-right and neither parents nor
ξυγγενεῖς καὶ φίλοι πείθουσι καταχαρίσασθαί σφιν καὶ
kinsmen and friends persuade to-give-up-as-a-favor to-them and
προδοῦναι τὸ ἔνδικον. ὑπολαμβάνει γὰρ ἁπάντων εἶναι
to-betray the just he-supposes for of-all to-be
τὴν πατρίδα κοινὴν ἑστίαν καὶ μητέρα, πρεσβυτέραν μὲν
the fatherland common hearth and mother older indeed
καὶ σεμνοτέραν τῶν πατέρων, φιλτέραν δὲ ἀδελφῶν
and more-august than-the fathers dearer but than-brothers
καὶ ξένων καὶ φίλων· ἧς ἀποσυλῆσαι τὸν νόμον καὶ
and strangers and friends from-which to-strip the law and
βιάσασθαι μεῖζον ἀσέβημα κρίνει τῆς περὶ τὰ χρήματα
to-violate greater impiety he-judges than-the about the property
τῶν θεῶν παρανομίας. ἔστι γὰρ ὁ νόμος ἔκγονος τῆς
of-the gods lawlessness is for the law offspring of-the

δίκης, ἱερὸν ἀνάθημα καὶ θεῖον ἀληθῶς τοῦ μεγίστου
justice sacred offering and divine truly of-the greatest
θεοῦ, ὃν οὐδαμῶς ὅ γε ἔμφρων ἀνὴρ περὶ σμικροῦ
god which in-no-way he indeed sensible man of small
ποιήσεται οὐδὲ ἀτιμάσει· ἀλλὰ ἐν δίκῃ πάντα δρῶν τοὺς
will-make nor will-dishonor but in justice all-things doing the
μὲν ἀγαθοὺς τιμήσει προθύμως, τοὺς μοχθηροὺς δὲ ἐς
indeed good he-will-honor eagerly the wicked but as-far-as
δύναμιν ἰᾶσθαι καθάπερ ἰατρὸς ἀγαθὸς προθυμήσεται.
power to-heal like physician good he-will-be-eager
30 Διττῶν δὲ ὄντων τῶν ἁμαρτημάτων, καὶ τῶν μὲν
twofold and being the errors and the(-ones) indeed
ὑποφαινόντων ἐλπίδας ἀμείνους καὶ οὐ πάντη τὴν θεραπείαν
showing hopes better and not altogether the treatment
ἀπεστραμμένων, τῶν δὲ ἀνίατα πλημμελούντων· τούτοις
having-turned-away-from the(-others) but incurably offending for-these
δὲ οἱ νόμοι θάνατον λύσιν τῶν κακῶν ἐπενόησαν, οὐκ
and the laws death release of-the evils devised not
εἰς τὴν ἐκείνων μᾶλλον, εἰς δὲ τὴν ἄλλων ὠφέλειαν·
to the their rather to but the of-others benefit
διττὰς δ' ἀνάγκη τὰς κρίσεις γίγνεσθαι. οὐκοῦν τῶν μὲν
twofold and necessity the judgments to-be therefore of-the indeed
ἰασίμων αὑτῷ προσήκειν ὑπολήψεται τήν τε ἐπίγνωσιν
curable to-himself to-belong he-will-suppose the both diagnosis
καὶ τὴν θεραπείαν, ἀφέξεται δὲ τῶν ἄλλων μάλα
and the treatment he-will-abstain but from-the others very
ἐρρωμένως, καὶ οὐκ ἄν ποτε ἑκὼν ἅψαιτο κρίσεως, ἐφ'
strongly and not — ever willingly he-would-touch judgment at
ᾗ θάνατος ἡ ζημία παρὰ τῶν νόμων τοῖς ὠφληκόσι
which death the penalty by the laws for-those having-lost
τὴν δίκην προηγόρευται. νομοθετῶν δὲ ὑπὲρ τῶν τοιούτων
the suit has-been-proclaimed legislating but about the such

ὕβριν μὲν καὶ χαλεπότητα καὶ πικρίαν τῶν τιμωριῶν
outrage indeed and harshness and bitterness from-the punishments
ἀφαιρήσει, ἀποκληρώσει δὲ αὐτοῖς ἀνδρῶν σωφρόνων καὶ
he-will-remove will-allot and to-them of-men temperate and
διὰ παντὸς τοῦ βίου βάσανον οὐ φαύλην τῆς αὑτῶν
through all the life test not mean of-the their-own
ἀρετῆς παρασχομένων δικαστήριον, οἳ μηδὲν αὐθαδῶς
virtue having-provided court who nothing self-willedly
μηδὲ ὁρμῇ τινι παντελῶς ἀλόγῳ χρώμενοι, ἐν ἡμέρας
nor impulse any wholly irrational using in of-day
μορίῳ σμικρῷ βουλευσάμενοι, τυχὸν δὲ οὐδὲ βουλῇ
part small having-deliberated perhaps but not-even to-deliberation
δόντες, ὑπὲρ ἀνδρὸς πολίτου τὴν μέλαιναν οἴσουσι ψῆφον.
having-given about man citizen the black will-cast vote
αὐτῷ δὲ οὔτε ἐν τῇ χειρὶ ξίφος εἰς πολίτου, κἂν ἀδικῇ τὰ
for-him but neither in the hand sword for of-citizen even-if he-wrongs the
ἔσχατα, φόνον οὔτε ἐν τῇ ψυχῇ κέντρον ὑπεῖναι χρή,
uttermost-things murder nor in the soul sting to-be-under is-it-needful
ὅπου καὶ τὴν τῶν μελιττῶν ὁρῶμεν βασιλεύουσαν καθαρὰν
where even the of-the bees we-see reigning pure
ὑπὸ τῆς φύσεως πλήκτρου γενομένην. ἀλλ᾽ οὐκ εἰς μελίττας
by the nature of-sting having-become but not to bees
βλεπτέον, εἰς αὐτὸν δὲ οἶμαι τῶν θεῶν τὸν βασιλέα
one-must-look to himself but I-think of-the gods the king
οὗπερ εἶναι χρὴ τὸν ἀληθῶς ἄρχοντα προφήτην καὶ
of-whom-very to-be it-is-needful the truly ruler prophet and
ὑπηρέτην. οὐκοῦν ὅσα μὲν ἀγαθὰ γέγονε παντελῶς
servant therefore as-many-as indeed goods have-come-to-be wholly
τῆς ἐναντίας ἄμικτα φύσεως καὶ ἐπ᾽ ὠφελείᾳ κοινῇ τῶν
of-the opposite unmixed nature and for benefit common of-the
ἀνθρώπων καὶ τοῦ παντὸς κόσμου, τούτων δὲ αὐτὸς ἦν
men and of-the whole world of-these and himself was

τε καὶ ἔστι δημιουργός· τὰ κακὰ δὲ οὔτ' ἐγέννησεν οὔτ'
both and is craftsman the evils but neither he-begot nor
ἐπέταξεν εἶναι, ἀλλ' αὐτὰ μὲν ἐφυγάδευσεν ἐξ οὐρανοῦ,
ordained to-be but them indeed he-banished from heaven
περὶ δὲ τὴν γῆν στρεφόμενα καὶ τὴν ἐκεῖθεν ἀποικίαν
about but the earth turning and the from-there colony
σταλεῖσαν τῶν ψυχῶν διαλαβόμενα κρίνειν ἐπέταξε καὶ
sent of-the souls having-seized to-judge he-ordained and
διακαθαίρειν τοῖς αὑτοῦ παισὶ καὶ ἐγγόνοις. τούτων δὲ
to-purge to-the his-own children and descendants of-these and
οἱ μέν εἰσι σωτῆρες καὶ ἐπίκουροι τῆς ἀνθρωπίνης
the(-ones) indeed are saviors and helpers of-the human
φύσεως, ἄλλοι δὲ ἀπαραίτητοι κριταί, τῶν ἀδικημάτων
nature others but inexorable judges of-the wrongs
ὀξεῖαν καὶ δεινὴν ἐπάγοντες δίκην ζῶσί τε ἀνθρώποις
swift and terrible bringing justice to-living both men
καὶ ἀπολυθεῖσι τῶν σωμάτων, οἱ δὲ ὥσπερ δήμιοι
and released from-the bodies the(-others) but like executioners
τιμωροί τινες καὶ ἀποπληρωταὶ τῶν δικασθέντων, ἕτερον
avengers some and fulfillers of-the things-judged other
τῶν φαύλων καὶ ἀνοήτων δαιμόνων τὸ φῦλον·
of-the base and senseless spirits the tribe
31 ἃ δὴ μιμητέον τῷ γενναίῳ καὶ θεοφιλεῖ, καὶ
which indeed one-must-imitate by-the noble and god-loved and
μεταδοτέον πολλοῖς μὲν τῆς ἑαυτοῦ ἀρετῆς διὰ φιλίας
one-must-impart to-many indeed of-the his-own virtue through friendship
ἐς ταύτην τὴν κοινωνίαν προσληφθεῖσιν. ἀρχὰς δὲ
into this the partnership taken-in-addition offices but
ἐπιτρεπτέον οἰκείας ἑκάστου τῇ φύσει καὶ προαιρέσει, τῷ
one-must-entrust suitable to-each-one's the nature and choice to-the
μὲν ἀνδρώδει καὶ τολμηρῷ καὶ μεγαλοθύμῳ μετὰ ξυνέσεως
indeed manly and daring and high-spirited with intelligence

στρατιωτικάς, ἵν' εἰς δέον ἔχῃ τῷ θυμῷ χρῆσθαι καὶ
military so-that for need he-may to-the spirit use and
τῇ ῥώμῃ, τῷ δικαίῳ δὲ καὶ πράῳ καὶ φιλανθρώπῳ
the strength to-the just but and gentle and humane
καὶ πρὸς οἶκτον εὐχερῶς ἐπικλωμένῳ τῶν πολιτικῶν τὰς
and toward pity easily bending of-the civil the
ἀμφὶ τὰ συναλλάγματα, βοηθείας τοῖς ἀσθενεστέροις καὶ
about the contracts aids for-the weaker and
ἁπλουστέροις μηχανώμενον καὶ πένησι πρὸς τοὺς ἰσχυροὺς
simpler devising and to-poor against the strong
καὶ ἀπατεῶνας καὶ πανούργους καὶ ἐπαιρομένους τοῖς
and deceivers and knaves and elated by-the
χρήμασιν ἐς τὸ βιάζεσθαι καὶ ὑπερορᾶν τῆς δίκης, τῷ δὲ
money into the to-use-force and to-disdain the justice to-the but
ἐξ ἀμφοῖν κεκραμένῳ μείζονα ἐν τῇ πόλει τιμὴν καὶ δύναμιν
from both blended greater in the city honor and power
περιθετέον, καὶ αὐτῷ τὰς ὑπὲρ τῶν ἁμαρτημάτων κρίσεις,
one-must-put-around and to-him the about the errors judgments
οἷς ἕπεται τιμωρία καὶ κόλασις ἔνδικος ἐπ' ὠφελείᾳ τῶν
on-which follows punishment and chastisement just for benefit of-those
ἀδικουμένων ἐπιτρέπων ὀρθῶς ἂν καὶ ἐμφρόνως λογίζοιτο.
wronged entrusting rightly — and sensibly he-would-reason
κρίνας γὰρ ὁ τοιοῦτος ἀδεκάστως ἅμα τοῖς συνέδροις
having-judged for the such impartially together-with the assessors
παραδώσει τῷ δημίῳ τὰ γνωσθέντα ἐπιτελεῖν, οὔτε
will-hand-over to-the executioner the-things decided to-carry-out neither
διὰ θυμοῦ μέγεθος οὔτε διὰ μαλακίαν ψυχῆς
because-of of-anger greatness nor because-of softness of-soul
ἁμαρτάνων τοῦ φύσει δικαίου. κινδυνεύει δὲ ὁ κράτιστος
missing of-the by-nature just runs-the-risk and the best
ἐν πόλει τοιοῦτός τις εἶναι, τὰ μὲν ἐν ἀμφοτέροις ἔχων
in city such someone to-be the indeed in both having

ἀγαθά, τὰς δὲ οἷον κῆρας ἐκ τοῦ πλεονάζοντος ἐν ἑκάστῳ
goods the but as dooms from the excess in each
τῶν ἔμπροσθεν εἰρημένων ἐκφεύγων. ἐφορῶν δὲ αὐτὸς
of-the before mentioned escaping overseeing but himself
ἅπαντα καὶ κατευθύνων καὶ ἄρχων ἀρχόντων τοὺς μὲν
all-things and directing and ruler of-rulers those indeed
ἐπὶ τῶν μεγίστων ἔργων καὶ διοικήσεων τεταγμένους καὶ
over the greatest works and administrations appointed and
αὐτῷ τῆς ὑπὲρ ἁπάντων βουλῆς κοινωνοῦντας ἀγαθούς
with-him of-the about all-things counsel sharing good
τε εἶναι καὶ ὅ τι μάλιστα αὑτοῦ παραπλησίους εὔξεται
both to-be and what thing most to-himself similar he-will-pray
γενέσθαι. αἱρήσεται δὲ οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, οὐδ᾽
to-become he-will-choose but not simply nor as it-chanced nor
ἐθελήσει φαυλότερος εἶναι κριτὴς τῶν λιθογνωμόνων καὶ
will-he-wish meaner to-be judge than-the stone-assayers and
τῶν βασανιζόντων τὸ χρυσίον ἢ τὴν πορφύραν. τούτοις
those testing the gold or the purple for-these
γὰρ οὐ μία ὁδὸς ἐπὶ τὴν ἐξέτασιν ἀπόχρη, ἀλλὰ συνιέντες
for not one way to the examination suffices but understanding
οἶμαι τῶν πανουργεῖν ἐθελόντων ποικίλην καὶ πολύτροπον
I-think of-those to-play-the-knave wishing many-colored and versatile
τὴν μοχθηρίαν καὶ τὰ ἐπιτεχνήματα εἰς δύναμιν ἅπασιν
the wickedness and the contrivances as-far-as power to-all
ἀντετάξαντο, καὶ ἀντέστησαν ἐλέγχους τοὺς ἐκ τῆς τέχνης.
they-set-against and opposed tests the from the art
ὃ δὴ καὶ αὐτὸς περὶ τῆς κακίας ὑπολαμβάνων, ὡς
which indeed also himself about the vice supposing that
ἐστὶ ποικίλη καὶ ἀπατηλὴ καὶ τοῦτό ἐστι χαλεπώτατον
it-is many-colored and deceitful and this is hardest
τῶν ἐκείνης ἔργων, ὅτι δὴ ψεύδεται πολλάκις ἀρετὴν
of-the her works that indeed she-lies often virtue

ὑποδυομένη καὶ ἐξαπατᾷ τοὺς οὐ δυναμένους ὀξύτερον
putting-on and deceives those not able more-sharply
ὁρᾶν ἢ καὶ ἀποκάμνοντας τῷ μήκει τοῦ χρόνου πρὸς τὴν
to-see or also growing-weary by-the length of-the time for the
ἐξέτασιν, τὸ παθεῖν τι τοιοῦτον ὀρθῶς φυλάξεται.
examination the to-suffer anything such rightly he-will-guard-against
ἑλόμενος δὲ ἅπαξ καὶ περὶ αὑτὸν τοὺς ἀρίστους ἔχων
having-chosen but once and about himself the best having
τούτοις ἐπιτρέψει τὴν τῶν ἐλασσόνων ἀρχόντων αἵρεσιν.
to-these he-will-entrust the of-the lesser officials choice

XI · THE EMPEROR MEASURED BY THE PATTERN

The wise teach that under such a king the farmers feed the guards and all live in peace, praying sincerely for him, and the gods anticipate their prayers. Julian recalls his principle that true praise looks to virtue, not fortune's gifts, and measures Constantius against it. Birth from kings is no great thing; surpassing one's father's virtue is. His father loved him above his brothers and called him alone to his deathbed; he treated his brothers justly and modestly, yielded territory after their quarrel, and took up war only for his subjects' good. Against the tyrant, a rough barbarian, he fought the justest of wars, avenging fresh wrongs on the wrongdoer himself, not ancient ones on descendants or, like Agamemnon, one woman.

Νόμων μὲν δὴ πέρι καὶ ἀρχόντων τοιάδε γινώσκει. 32
of-laws indeed indeed about and of-rulers such-things he-judges
τοῦ πλήθους δὲ τὸ μὲν ἐν τοῖς ἄστεσιν οὔτε ἀργὸν οὔτε
of-the multitude but the indeed in the towns neither idle nor
αὔθαδες ἀνέξεται εἶναι οὔτε μὴν ἐνδεὲς τῶν ἀναγκαίων·
self-willed he-will-endure to-be nor indeed lacking of-the necessities
τὸ δὲ ἐν τοῖς ἀγροῖς τῶν γεωργῶν φῦλον ἀροῦντες καὶ
the but in the fields of-the farmers tribe plowing and
φυτεύοντες τροφὴν ἀποίσουσι τοῖς φύλαξι καὶ ἐπικούροις
planting food they-will-render to-the guards and helpers

σφῶν, μισθὸν καὶ ἐσθῆτα τὴν ἀναγκαίαν. οἰκοδομήματα δὲ
their-own wage and clothing the necessary buildings but
Ἀσσύρια καὶ πολυτελεῖς καὶ δαπανηρὰς λειτουργίας χαίρειν
Assyrian and costly and expensive public-services to-rejoice
ἐάσαντες ἐν εἰρήνῃ πολλῇ τῶν τε ἔξωθεν πολεμίων
having-let in peace much of-the both from-outside enemies
καὶ τῶν οἴκοθεν καταβιώσονται, ἀγαπῶντες μὲν τὸν
and of-the from-home they-will-live-out loving indeed the(-one)
αἴτιον τῶν παρόντων σφίσι καθάπερ ἀγαθὸν δαίμονα,
responsible for-the present-things for-them like good spirit
ὑμνοῦντες δὲ ἐπ᾽ αὐτῷ τὸν θεὸν καὶ ἐπευχόμενοι, οὔτι
hymning but for him the god and praying not-at-all
πλαστῶς οὐδὲ ἀπὸ γλώττης, ἔνδοθεν δὲ ἀπ᾽ αὐτῆς τῆς
artificially nor from tongue from-within but from very the
ψυχῆς αἰτοῦσιν αὐτῷ τὰ ἀγαθά. φθάνουσι δὲ οἱ θεοὶ τὰς
soul they-ask for-him the good-things anticipate but the gods the
εὐχάς, καὶ αὐτῷ πρότερον τὰ θεῖα δόντες οὐδὲ τῶν
prayers and to-him before the divine-things having-given not-even of-the
ἀνθρωπίνων ἐστέρησαν. εἰ δὲ τὸ χρεὼν βιάζοιτο κακῷ
human-things deprived if but the fate should-force evil
τῳ περιπεσεῖν, τούτων δὴ τῶν θρυλουμένων ἀνηκέστων,
some to-fall-into of-these indeed the much-talked-of incurable
χορευτήν τε αὑτῶν ἐποιήσαντο καὶ συνέστιον, καὶ αὐτῷ
chorus-member both of-themselves they-made and hearth-fellow and for-him
κλέος καθ᾽ ἅπαντας ἤγειραν ἀνθρώπους.
glory among all raised men
ταῦτα ἐγὼ τῶν σοφῶν ἀκούω πολλάκις, καί με
these-things I from-the wise hear often and me
ὁ λόγος ἰσχυρῶς πείθει. οὐκοῦν καὶ ἐς ὑμᾶς αὐτὸν
the saying strongly persuades therefore also to you it
διεξῆλθον, μακρότερα μὲν τυχὸν ἴσως τοῦ καιροῦ
I-went-through longer indeed perhaps likely than-the occasion

φθεγγόμενος, ἐλάττονα δὲ οἶμαι τῆς ὑποθέσεως· καὶ
uttering less but I-think than-the subject and
ὅτῳ γέγονε τῶν τοιούτων λόγων ἐπακούειν ἐν φροντίδι,
to-whom it-has-been of-the such speeches to-hear in thought
οὗτος ὅτι μὴ ψεύδομαι σαφῶς ἐπίσταται. ἑτέρα δέ ἐστιν
this-one that not I-lie clearly knows other but is
αἰτία τοῦ μήκους τῆς μὲν εἰρημένης ἧττον ἀναγκαία,
cause of-the length than-the indeed mentioned less necessary
προσεχεστέρα δὲ οἶμαι τῷ παρόντι λόγῳ· τυχὸν δὲ
more-pertinent but I-think to-the present speech perhaps but
οὐδὲ ταύτης ἀνηκόους ὑμᾶς εἶναι χρή.
not-even of-this unhearing you to-be is-it-needful
Πρῶτον μὲν οὖν ὑπομνησθῶμεν μικρὰ τῶν ἔμπροσθεν, 33
first indeed then let-us-be-reminded little of-the former-things
ὁπότε τῆς ὑπὲρ τούτων διηγήσεως ἀπεπαυόμεθα. ἔφαμέν
when of-the about these narrative we-were-ceasing we-said
που χρῆναι τοὺς σπουδαίους τῶν ἀληθινῶν ἐπαίνων
somewhere to-be-needful the serious of-the true praises
ἀκροατὰς οὐκ εἰς ταῦτα ὁρᾶν, ὧν ἡ τύχη καὶ τοῖς
hearers not to these-things to-look of-which the fortune even to-the
μοχθηροῖς πολλάκις μεταδίδωσιν, εἰς δὲ τὰς ἕξεις καὶ
wicked often gives-a-share to but the dispositions and
τὴν ἀρετήν, ἧς μόνοις μέτεστι τοῖς ἀγαθοῖς ἀνδράσι
the virtue in-which to-alone there-is-a-share the good men
καὶ φύσει σπουδαίοις. εἶτα ἐντεῦθεν ἑλόντες τοὺς ἑξῆς
and by-nature serious then thence having-taken the next
ἐπεραίνομεν λόγους, ὡς πρὸς κανόνα τινὰ καὶ στάθμην
we-completed speeches as to rule some and plumb-line
ἀπευθύνοντες, ᾗ τοὺς τῶν ἀγαθῶν ἀνδρῶν καὶ
directing by-which the of-the good men and
βασιλέων ἐπαίνους ἐναρμόττειν ἐχρῆν. καὶ ὅτῳ μὲν
kings praises to-fit it-was-needful and to-whom indeed

ἀληθὴς καὶ ἀπαράλλακτος ἁρμονία πρὸς τοῦτο γέγονε
true and unvarying harmony with this has-come-to-be
τὸ ἀρχέτυπον, ὄλβιος μὲν αὐτὸς καὶ ὄντως εὐδαίμων,
the archetype blessed indeed himself and truly happy
εὐτυχεῖς δὲ οἱ μεταλαβόντες τῆς τοιαύτης ἀρχῆς· ὅστις δὲ
fortunate but those having-shared of-the such rule whoever but
ἐγγὺς ἀφίκετο, τῶν πλέον ἀπολειφθέντων ἀμείνων καὶ
near came than-those more left-behind better and
εὐτυχέστερος· οἱ δὲ ἀπολειφθέντες παντελῶς ἢ καὶ τὴν
more-fortunate those but left-behind wholly or also the
ἐναντίαν τραπόμενοι δυστυχεῖς καὶ ἀνόητοι καὶ μοχθηροί,
opposite having-turned unfortunate and senseless and wicked
αὑτοῖς τε καὶ ἄλλοις τῶν μεγίστων αἴτιοι συμφορῶν.
to-themselves both and to-others of-the greatest causes disasters
Εἰ δὴ οὖν καὶ ὑμῖν ταύτῃ πῃ ξυνδοκεῖ, ὥρα ἐπεξιέναι
if indeed then also to-you thus somehow it-seems-good it-is-time to-go-over
τοῖς ἔργοις, ἃ τεθαυμάκαμεν. καὶ ὅπως μή τις ὑπολάβῃ
the deeds which we-have-admired and so-that not anyone may-suppose
τὸν λόγον καθ' αὑτὸν ἰόντα, καθάπερ ἵππον ἀνταγωνιστοῦ
the speech by itself going like horse of-rival
στερόμενον ἐν τοῖς δρόμοις, κρατεῖν καὶ ἀποφέρειν τὰ
deprived in the races to-prevail and to-carry-off the
νικητήρια, πειράσομαι, πῇ ποτε διαφέρετον ἀλλήλων ὅ τε
prizes I-shall-try how ever they-differ from-one-another the both
ἡμέτερος καὶ ὁ τῶν σοφῶν ῥητόρων ἔπαινος, δεῖξαι. οὐκοῦν
our and the of-the wise orators praise to-show therefore
οἱ μὲν τὸ προγόνων γενέσθαι δυναστῶν καὶ βασιλέων
they indeed the from-ancestors to-have-been-born potentates and kings
θαυμάζουσι μάλα, ὀλβίων καὶ εὐδαιμόνων μακαρίους
admire very of-blessed and happy blessed
ὑπολαμβάνοντες τοὺς ἐκγόνους· τὸ δὲ ἐπὶ τούτοις οὔτε
supposing the descendants the but besides these neither

ἐνενόησαν οὔτε ἐσκέψαντο, τίνα τρόπον διατελοῦσιν τοῖς
they-considered nor examined in-what way they-continue the
ἀγαθοῖς χρώμενοι. καίτοι γε τοῦτο ἦν τῆς εὐτυχίας ἐκείνης
goods using and-yet indeed this was of-the good-fortune that
τὸ κεφάλαιον καὶ σχεδὸν ἁπάντων τῶν ἐκτὸς ἀγαθῶν· εἰ
the sum and nearly of-all the external goods if
μή τις καὶ πρὸς τοὔνομα δυσχεραίνει, τὴν κτῆσιν ὑπὸ τῆς
not anyone even at the-name is-vexed the possession by the
ἔμφρονος χρήσεως ἀγαθὴν καὶ φαύλην ὑπὸ τῆς ἐναντίας
sensible use good and base by the opposite
γίγνεσθαι συμβαίνειν· ὥστε οὐ μέγα, καθάπερ οἴονται,
to-become to-happen so-that not great as they-think
τὸ βασιλέως πλουσίου καὶ πολυχρύσου γενέσθαι, μέγα
the of-king rich and much-golden to-be-born great
δὲ ἀληθῶς τὸ τὴν ἀρετὴν τὴν πατρῴαν ὑπερβαλλόμενον
but truly the the virtue the father's surpassing
ἄμεμπτον αὑτὸν τοῖς γειναμένοις παρασχεῖν εἰς ἅπαν.
blameless himself to-those having-begotten to-provide in everything
Βούλεσθε οὖν εἰ τοῦτο ὑπάρχει βασιλεῖ καταμαθεῖν; 34
do-you-wish then if this belongs to-king to-learn
παρέξομαι δὲ ὑμῖν ἐγὼ μαρτυρίαν πιστήν, καί με οὐχ
I-shall-provide and to-you I testimony trustworthy and me not
αἱρήσετε ψευδομαρτυρίων, εὖ οἶδα· ὑπομνήσω γὰρ ὑμᾶς
you-will-convict of-false-witness well I-know I-shall-remind for you
ὧν ἴστε· τυχὸν δὲ καὶ ἤδη τοῦ λεγομένου ξυνίετε,
of-what you-know perhaps and also already the said-thing you-understand
εἴ τε οὔπω δῆλον, αὐτίκα μάλα ξυνήσετε ἐννοήσαντες
if and not-yet evident at-once very you-will-understand having-considered
πρῶτον μὲν ὡς αὐτὸν ὁ πατὴρ ἠγάπα διαφερόντως, οὔτι
first indeed how him the father loved especially not-at-all
πρᾳ̂ος ὢν λίαν τοῖς ἐκγόνοις οὐδὲ τῇ φύσει πλέον ἢ τῷ
gentle being very to-the offspring nor to-the nature more than to-the

τρόπῳ διδούς, ἡττώμενος δὲ οἶμαι τῆς θεραπείας καὶ οὐκ
character giving being-overcome but I-think by-the service and not
ἔχων, ὅ τι μέμφοιτο, δῆλος ἦν εὔνους ὢν. καὶ αὐτοῦ
having what thing he-could-blame evident he-was well-disposed being and of-him
σημεῖον τῆς γνώμης, πρῶτον μὲν ὅτι Κωνσταντίῳ ταύτην
sign of-the judgment first indeed that to-Constantius this
ἐξεῖλε τὴν μοῖραν, ἣν αὑτῷ πρότερον προσήκειν ἔχειν
he-set-apart the portion which to-himself before to-belong to-have
ὑπέλαβεν, εἶθ' ὅτι τελευτῶν τὸν βίον, τὸν πρεσβύτατον καὶ
he-supposed then that ending the life the eldest and
τὸν νεώτατον ἀφεὶς σχολὴν ἄγοντας, τοῦτον δὴ ἄσχολον
the youngest having-let-be leisure keeping this-one indeed busy
ἐκάλει καὶ ἐπέτρεπε τὰ περὶ τὴν ἀρχὴν ξύμπαντα.
he-called and entrusted the-things about the rule all
γενόμενος δὲ ἐγκρατὴς ἁπάντων οὕτω τοῖς ἀδελφοῖς δικαίως
having-become but master of-all so to-the brothers justly
ἅμα καὶ σωφρόνως προσηνέχθη, ὥστε οἱ μὲν οὔτε
at-the-same-time and temperately he-behaved that they indeed neither
κληθέντες οὔτε ἀφικόμενοι πρὸς ἀλλήλους ἐστασίαζον καὶ
having-been-called nor having-come toward one-another quarreled and
διεμάχοντο, τούτῳ δὲ ἐχαλέπαινον οὐδὲν οὐδὲ ἐμέμφοντο.
fought with-this-one but were-angry in-nothing nor blamed
ἐπεὶ δὲ αὐτῶν ἡ στάσις τέλος εἶχεν οὐκ εὐτυχές,
when but their the quarrel end had not fortunate
ἐξὸν μεταποιεῖσθαι πλειόνων, ἑκὼν ἀφῆκε, τῆς αὐτῆς
it-being-possible to-lay-claim to-more willingly he-let-go of-the same
ἀρετῆς ὑπολαμβάνων πολλά τε ἔθνη καὶ ὀλίγα δεῖσθαι,
virtue supposing many both nations and few to-need
περικεῖσθαι δέ, οἶμαι, φροντίδας μείζονας ὅτῳ πλειόνων
to-surround but I-think cares greater for-whom more
ἀνάγκη τημελεῖν καὶ κήδεσθαι. οὐ γὰρ δὴ τρυφῆς
necessity to-tend and to-care-for not for indeed of-luxury

ὑπολαμβάνει τὴν βασιλείαν εἶναι παρασκευὴν οὐδέ, ὥσπερ
he-supposes the kingship to-be provision nor as
ἐπὶ τῶν χρημάτων εἰς πότους καὶ ἡδονὰς οἱ καταχρώμενοι
in the money for drinkings and pleasures those misusing
μειζόνων εὐπορίαν προσόδων ἐπινοοῦσιν, οὕτω χρῆναι
greater abundance of-revenues contrive so to-be-needful
τὸν βασιλέα παρασκευάζεσθαι, οὐδὲ ἀναιρεῖσθαι πόλεμον,
the king to-prepare nor to-take-up war
ὅ τι μὴ τῶν ἀρχομένων τῆς ὠφελείας ἕνεκα.
what thing not of-the ruled of-the benefit for-the-sake
οὐκοῦν ἐκείνῳ μὲν ἔχειν τὸ πλέον ξυγχωρῶν, αὐτὸς δὲ
therefore to-him indeed to-have the more conceding himself but
μετὰ ἀρετῆς ἔλαττον ἔχων τῷ κρατίστῳ πλεονεκτεῖν
with virtue less having by-the best to-have-the-advantage
ὑπέλαβε. καὶ ὅτι μὴ δέει μᾶλλον τῆς ἐκείνου παρασκευῆς
supposed and that not from-fear rather of-the his preparation
τὴν ἡσυχίαν ἠγάπα, τεκμήριον ὑμῖν ἐμφανὲς ἔστω ὁ
the quiet he-loved proof to-you manifest let-it-be the
μετὰ ταῦτα ξυμπεσὼν πόλεμος. ἐχρήσατο γοῦν πρὸς τὰς
after these-things having-befallen war he-used at-least against the
ἐκείνου δυνάμεις ὑπὲρ αὐτοῦ τοῖς ὅπλοις ὕστερον. πάλιν δὲ
his forces for him the arms later again but
ἐνταῦθα ἐκεῖνοι μέν που τὸ νικᾶν τεθαυμάκασιν· ἐγὼ
here they indeed somewhere the to-win have-admired I
δὲ πολὺ πλέον τὸ ξὺν δίκῃ μὲν ἀνελέσθαι τὸν πόλεμον,
but much more the with justice indeed to-take-up the war
διενεγκεῖν δὲ ἀνδρείως καὶ μάλα ἐμπείρως, ἐπιθείσης δὲ
to-carry-through but bravely and very skillfully having-put but
τὸ τέλος τῆς τύχης δεξιὸν χρήσασθαι τῇ νίκῃ σωφρόνως
the end the fortune propitious to-use the victory temperately
καὶ βασιλικῶς, καὶ ὅλως ἄξιον τοῦ κρατεῖν φανῆναι.
and royally and wholly worthy of-the to-prevail to-appear

Βούλεσθε οὖν καὶ τούτων ὑμῖν ὥσπερ ἐν τοῖς δικαστηρίοις
do-you-wish then also of-these for-you as in the law-courts
ὀνομαστὶ καλῶμεν τοὺς μάρτυρας; καὶ ὅτι μὲν οὐδείς πω
by-name let-us-call the witnesses and that indeed no yet
πόλεμος συνέστη πρότερον οὐδὲ ἐπὶ τὴν Τροίαν τοῖς
war arose before neither against — Troy for-the
Ἕλλησιν οὐδὲ ἐπὶ τοὺς Πέρσας Μακεδόσιν, οἵπερ δὴ
Greeks nor against the Persians for-Macedonians which-very indeed
δοκοῦσιν ἐν δίκῃ γενέσθαι, τοσαύτην ἔχων ὑπόθεσιν,
seem in justice to-have-happened so-great having ground
καὶ παιδί που δῆλον, τοῖς μέν γε λίαν ἀρχαίων
even to-child somewhere evident for-them indeed indeed of-very ancient
ἀδικημάτων τιμωρίας σφόδρα νεαρᾶς οὔτ' εἰς παῖδας
wrongs vengeance very fresh neither upon children
οὔτε εἰς ἐγγόνους γενομένης, ἀλλὰ εἰς τὸν ἀφελόμενον
nor upon descendants having-happened but upon the(-one) having-taken-away
καὶ ἀποστερήσαντα τὴν ἀρχὴν τοὺς τῶν ἀδικησάντων
and having-deprived the rule the of-the wrongdoers
ἀπογόνους· Ἀγαμέμνων δὲ ὥρμητο
descendants Agamemnon but had-set-out

τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε,
to-avenge of-Helen strivings both groans both

καὶ ἐπὶ τοὺς Τρῶας ἐστράτευε γυναῖκα μίαν ἐκδικεῖν
and against the Trojans campaigned woman one to-avenge
ἐθέλων. τῷ δὲ ἔτι μὲν ἦν νεαρὰ τὰ ἀδικήματα, ἦρχε
wishing for-him but still indeed were fresh the wrongs ruled
δὲ οὐ κατὰ Δαρεῖον οὐδὲ Πρίαμον ἀνὴρ εὐγενὴς καὶ
and not like Darius nor Priam man noble and
τυχὸν δι' ἀρετὴν ἢ κατὰ γένος προσηκούσης αὐτῷ τῆς
perhaps because-of virtue or by birth belonging to-him the

βασιλείας ἀξιωθείς, ἀλλὰ ἀναιδὴς καὶ τραχὺς βάρβαρος
kingship deemed-worthy but shameless and rough barbarian
τῶν ἑαλωκότων οὐ πρὸ πολλοῦ. καὶ ὅσα μὲν ἔπραξε
of-the captured not before long and as-many-as indeed he-did
καὶ ὅπως ἦρχεν, οὔτε ἡδύ μοι λέγειν οὔτε ἐν καιρῷ·
and how he-ruled neither pleasant to-me to-say nor in season
ἐν δίκῃ δὲ ὅτι πρὸς αὐτὸν ἐπολέμησεν, ἀκηκόατε. τῆς δὲ
in justice but that against him he-warred you-have-heard of-the but
ἐμπειρίας καὶ τῆς ἀνδρείας ἱκανὰ μὲν τὰ πρόσθεν ῥηθέντα
experience and of-the courage sufficient indeed the before said
σημεῖα, πιστότερα δέ, οἶμαι, τὰ ἔργα τῶν λόγων.
signs more-credible but I-think the deeds than-the words

XII · MILDNESS, SELF-RESTRAINT, AND THE CLOSE

After the victory no sword was drawn, not even against those who had reviled the emperor; insult provokes even Odysseus, and only Socrates and a few of his followers fully shed ambition, yet Constantius bore it calmly. Senators fled to him from Rome, a cavalry squadron came over before the battle, and early setbacks never shook him, as Thermopylae did not shake Sparta. When a general in Gaul who had left his son as a hostage put on a purple robe from the women's quarters, his own soldiers tore him apart; Constantius spared the son and dealt gently with his friends, unlike Agamemnon's wrath against unborn Trojans. Like God, who lets sweet figs grow from bitter wood, he spares the seed of the wicked. Julian ends: the proofs of his chastity and endurance are well known, but too long to tell.

τὰ δὲ ἐπὶ τῇ νίκῃ γενόμενα καὶ ὅπως ξίφους μὲν 35
the-things but after the victory having-happened and how of-sword indeed
οὐδὲν ἐδέησεν ἔτι, οὐδ' εἴ τις ἀδικημάτων μειζόνων
nothing was-needed any-longer not-even if anyone of-wrongs greater
εἶχεν ὑποψίαν, οὐδὲ εἴ τῳ πρὸς τὸν τύραννον οἰκειοτέρα
had suspicion nor if to-anyone toward the tyrant more-intimate

γέγονε φιλία, οὐδὲ μὴν εἴ τις ἐκείνῳ χαριζόμενος
had-been friendship nor indeed if anyone to-him gratifying
φέρειν τε ἠξίου κηρύκιον καὶ ἐλοιδορεῖτο βασιλεῖ, τῆς
to-carry both deemed-fit herald's-staff and reviled the-king for-the
προπετείας ἀπέτισε δίκην, ὅ τι μὴ τἆλλα μοχθηρὸς
rashness paid penalty in-what thing not in-other-things wicked
ἦν, ἐννοήσατε δὴ πρὸς φιλίου Διός. ποταπὸν δὲ
he-was consider indeed by friendship's Zeus what-kind-of but
χρῆμα λοιδορία; ὡς θυμοδακὲς ἀληθῶς καὶ ἀμύττον ψυχὴν
thing reviling how heart-biting truly and tearing soul
μᾶλλον ἢ σίδηρος χρῶτα; οὐκοῦν καὶ τὸν Ὀδυσσέα
more than iron skin therefore also — Odysseus
παρώξυνεν εἰς δύναμιν ἀμύνασθαι λόγῳ τε καὶ ἔργῳ·
it-provoked as-far-as power to-defend-himself by-word both and by-deed
διηνέχθη γοῦν ὑπὲρ τούτου πρὸς τὸν ξενοδόκον αὐτὸς
he-quarreled at-least about this with the host himself
ὢν ἀλήτης καὶ ξένος, καὶ ταῦτα εἰδώς, ὅτι
being wanderer and stranger and that knowing that

Ἄφρων … καὶ οὐτιδανὸς πέλει ἀνήρ,
senseless … and worthless is man
Ὅστις ξεινοδόκῳ ἔριδα προφέρῃσι βαρεῖαν,
who with-host strife brings heavy

καὶ Ἀλέξανδρον τὸν Φιλίππου καὶ Ἀχιλλέα τὸν
and Alexander the(-son) of-Philip and Achilles the(-son)
Θέτιδος καὶ ἄλλους δέ τινας οὐ φαύλους οὐδὲ ἀγεννεῖς
of-Thetis and others and some not mean nor ignoble
ἀνθρώπους. μόνῳ δὲ ὑπῆρχεν, οἶμαι, Σωκράτει καὶ
men for-alone but it-belonged I-think to-Socrates and
σπανίοις τισὶν ἐκείνου ζηλωταῖς, εὐδαίμοσιν ἀληθῶς καὶ
few some his emulators happy truly and

μακαρίοις γενομένοις, τὸν ἔσχατον ἀποδύσασθαι χιτῶνα
blessed having-become the last to-strip-off tunic
τῆς φιλοτιμίας. φιλότιμον γὰρ δεινῶς τὸ πάθος, καὶ ἔοικεν
of-the ambition ambitious for terribly the passion and it-seems
ἐμφύεσθαι διὰ τοῦτο μᾶλλον ταῖς γενναίαις ψυχαῖς·
to-be-implanted because-of this rather in-the noble souls
ἄχθονται γὰρ ὡς ἐναντιωτάτῳ σφίσι λοιδορίᾳ, καὶ τοὺς
they-are-vexed for as at-most-opposed to-them reviling and those
ἀπορρίπτοντας ἐς αὐτοὺς τοιαῦτα ῥήματα μισοῦσι μᾶλλον
throwing at them such words they-hate more
ἢ τοὺς ἐπάγοντας τὸν σίδηρον καὶ ἐπιβουλεύοντας
than those bringing the iron and plotting
φόνον, διαφόρους τε αὑτοῖς ὑπολαμβάνουσι φύσει καὶ
murder at-variance both with-themselves they-suppose by-nature and
οὐ νόμῳ, εἴ γε οἱ μὲν ἐπαίνου καὶ τιμῆς ἐρῶσιν,
not by-convention if indeed the(-ones) indeed praise and honor love
οἱ δὲ οὐ τούτων μόνον ἀφαιροῦνται, ἀλλὰ καὶ ἐπ'
the(-others) but not of-these only deprive but also besides
αὐτοῖς μηχανῶνται βλασφημίας ψευδεῖς. τούτου καὶ Ἡρακλέα
them contrive slanders false of-this also Heracles
φασὶ καὶ ἄλλους δέ τινας ἀκράτορας τοῦ πάθους γενέσθαι.
they-say and others and some not-masters of-the passion to-have-been
ἐγὼ δὲ οὔτε περὶ ἐκείνων τῷ λόγῳ πείθομαι, καὶ βασιλέα
I but neither about them the account believe and king
τεθέαμαι σφόδρα ἐγκρατῶς τὴν λοιδορίαν ἀποτρεψάμενον,
I-have-seen very self-controlledly the reviling having-turned-aside
οὔτι φαυλότερον ἔργον, ὡς ἐγὼ κρίνω, τοῦ Τροίαν
not-at-all meaner deed as I judge than-the Troy
ἑλεῖν καὶ φάλαγγα γενναίαν τρέψασθαι. εἰ δὲ ἀπιστεῖ τις
to-take and phalanx noble to-rout if but disbelieves anyone
καὶ οὐ μέγα οἴεται οὐδὲ ἄξιον ἐπαίνων τοσούτων, ἐς αὐτὸν
and not great thinks nor worthy of-praises so-great to himself

ἀφορῶν, ὅταν ἔν τινι τοιαύτῃ ξυμφορᾷ γένηται, κρινέτω,
looking when in some such misfortune be-may-be let-him-judge
καὶ αὐτῷ οὐ σφόδρα ληρεῖν δόξομεν, ὡς ἐγὼ πείθομαι.
and to-him not very to-babble we-shall-seem as I am-persuaded
36 Τοιοῦτος δὲ ὢν καὶ γενόμενος βασιλεὺς μετὰ τὸν πόλεμον
such but being and having-been king after the war
εἰκότως οὐ μόνον ἐστὶ ποθεινὸς τοῖς φίλοις καὶ ἀγαπητός,
fittingly not only is longed-for by-the friends and beloved
πολλοῖς μὲν τιμῆς καὶ δυνάμεως καὶ παρρησίας μεταδιδούς,
to-many indeed of-honor and power and frankness imparting
χρήματα δὲ αὐτοῖς ἄφθονα χαριζόμενος καὶ χρῆσθαι ὅπως
money but to-them abundant bestowing and to-use as
τις βούλεται τῷ πλούτῳ ξυγχωρῶν, ἀλλὰ καὶ τοῖς
anyone wishes the wealth conceding but also to-the
πολεμίοις τοιοῦτος ἐδόκει. τεκμήριον δὲ ὑμῖν ἐμφανὲς καὶ
enemies such seemed proof and to-you manifest also
τοῦδε γιγνέσθω· ἄνδρες, τῆς γερουσίας ὅτιπερ ὄφελος,
of-this let-there-be men of-the senate whatever-indeed benefit
ἀξιώσει καὶ πλούτῳ καὶ ξυνέσει διαφέροντες τῶν ἄλλων,
in-rank and wealth and intelligence surpassing the others
ὥσπερ ἐς λιμένα καταφεύγοντες τὴν τούτου δεξιάν, ἑστίας
as into harbor fleeing-for-refuge the his right-hand hearths
τε λιπόντες καὶ οἴκους καὶ παῖδας Παιονίαν μὲν ἀντὶ
both having-left and homes and children Paeonia indeed instead-of
τῆς Ῥώμης, τὴν μετὰ τούτου δὲ ἀντὶ τῶν φιλτάτων
— Rome the with him but instead-of the dearest
συνουσίαν ἠσπάσαντο, ἴλη τε τῶν ἐπιλέκτων ἱππέων
company embraced squadron both of-the picked horsemen
ξὺν τοῖς σημείοις καὶ τὸν στρατηγὸν ἄγουσα τούτῳ τοῦ
with the standards and the general leading with-him of-the
κινδύνου ξυμμετέχειν μᾶλλον ἢ ἐκείνῳ τῆς εὐτυχίας ἠξίου.
danger to-share rather than with-him of-the good-fortune deemed-fit

καὶ ταῦτα ἅπαντα ἐδρᾶτο πρὸ τῆς μάχης ἣν ἐπὶ τοῦ
and these-things all were-done before the battle which on —
Δράου ταῖς ἠόσιν ὁ πρόσθεν λόγος παρέστησεν· ἐντεῦθεν
of-Dravus the banks the before speech presented thence
γὰρ ἤδη βεβαίως ἐθάρρουν, τέως δ' ἐδόκει τὰ τῶν
for already firmly they-took-courage till-then and seemed the-things of-the
τυράννων ἐπικρατεῖν, πλεονεκτήματός τινος περὶ τοὺς
tyrants to-prevail advantage some about the
κατασκόπους τοὺς βασιλέως γενομένου, ὃ δὴ ἐκεῖνόν
scouts the of-king having-happened which indeed him
τε ἐποίησεν ὑπὸ τῆς ἡδονῆς ἄφρονα καὶ ἐξετάραττε τοὺς
both made by the pleasure senseless and troubled those
οὐ δυναμένους ἐφικνεῖσθαι οὐδὲ διορᾶν τὴν στρατηγίαν.
not able to-reach nor to-see-through the generalship
ὁ δὲ ἦν ἀκατάπληκτος καὶ γεννάδας καθάπερ ἀγαθὸς νεὼς
he but was undismayed and noble like good of-ship
κυβερνήτης, ἐξαπίνης νεφῶν ῥαγείσης λαίλαπος, εἶτα ἐπ'
helmsman suddenly from-clouds having-burst storm then besides
αὐτῇ τοῦ θεοῦ σείοντος τὸν βυθὸν καὶ τὰς ἠόνας. ἐνταῦθα
it the god shaking the deep and the shores then
γὰρ τοὺς μὲν ἀπείρους δεινὸν καὶ ἄτοπον κατέλαβε δέος,
for the indeed inexperienced terrible and strange seized fear
ὁ δὲ ἤδη χαίρει καὶ γάνυται, γαλήνην ἀκριβῆ καὶ νηνεμίαν
he but already rejoices and exults calm perfect and windlessness
ἐλπίζων. λέγεται γὰρ δὴ καὶ ὁ Ποσειδῶν συνταράττων
hoping it-is-said for indeed also — Poseidon troubling
τὴν γῆν παύειν τὰ κύματα. καὶ ἡ τύχη δὲ τοὺς ἀνοήτους
the earth to-stop the waves and the fortune and the foolish
ἐξαπατᾷ καὶ σφάλλει περὶ τοῖς μείζοσι, μικρὰ πλεονεκτεῖν
deceives and trips about the greater-things small-things to-gain
ἐπιτρέπουσα, τοῖς ἔμφροσι δὲ τὸ βεβαίως θαρσεῖν ὑπὲρ
allowing to-the sensible but the firmly to-take-courage about

τῶν μειζόνων, ὅταν ἐν τοῖς ἐλάττοσιν αὐτοὺς διαταράττῃ,
the greater-things when in the lesser them she-troubles
παρέχει. τοῦτο Λακεδαιμόνιοι παθόντες ἐν Πύλαις
provides this Lacedaemonians having-suffered at Pylae
οὐκ ἀπηγόρευον οὐδὲ ἔδεισαν τὸν Μῆδον ἐπιφερόμενον,
not gave-up nor feared the Mede rushing-on
τριακοσίους Σπαρτιατῶν καὶ τὸν βασιλέα περὶ τὰς εἰσβολὰς
three-hundred of-Spartiates and the king at the entrances
τῆς Ἑλλάδος προέμενοι· τοῦτο Ῥωμαῖοι πολλάκις παθόντες
— of-Greece having-sacrificed this Romans often having-suffered
μείζονα κατώρθουν ὕστερον· ὃ δὴ καὶ βασιλεὺς
greater-things succeeded later which indeed also king
ἐννοῶν καὶ λογιζόμενος οὐδαμῶς ἐσφάλη τῆς γνώμης.
considering and reckoning in-no-way was-tripped of-the judgment
37 Ἀλλ' ἐπείπερ ἅπαξ ἑκὼν ὁ λόγος ἐς τοῦτο ἀφῖκται
but since once willingly the speech to this has-come
καὶ τὴν εὔνοιαν τοῦ πλήθους καὶ τῶν ἐν τέλει καὶ
and the goodwill of-the multitude and of-those in office and
τῶν φυλάκων, οἵπερ δὴ ξυμφυλάττουσιν αὐτῷ τὴν
of-the guards who-very indeed guard-with him the
ἀρχὴν καὶ ἀπείργουσι τοὺς πολεμίους, διηγεῖται· βούλεσθε
rule and ward-off the enemies narrates do-you-wish
ὑμῖν ἐναργὲς εἵπω τεκμήριον χθές που ἢ καὶ
to-you clear should-I-tell proof yesterday somewhere or even
πρῴην γενόμενον; ἀνὴρ τῶν ἐπιταχθέντων τοῖς ἐν
day-before having-happened man of-those appointed to-the in
Γαλατίᾳ στρατοπέδοις· ἴστε ἴσως καὶ τοὔνομα καὶ τὸν
Gaul camps you-know perhaps both the-name and the
τρόπον· ὅμηρον φιλίας καὶ πίστεως ἀπέλιπεν οὐδὲν
character hostage of-friendship and of-faith left to-not-at-all
δεομένῳ βασιλεῖ τὸν παῖδα· εἶτα ἦν ἀπιστότερος τῶν
needing king the son then he-was more-faithless than-the

λεόντων, οἷς οὐκ ἔστι, φησί, πρὸς ἄνδρας ὅρκια
lions for-whom not there-are he-says with men oaths
πιστά, ἁρπάζων τε ἐκ τῶν πόλεων τὰ χρήματα καὶ
faithful snatching both from the cities the money and
διανέμων τοῖς ἐπιοῦσι βαρβάροις καὶ ὥσπερ λύτρα
distributing to-the attacking barbarians and as ransoms
καταβαλλόμενος, ἐξὸν τῷ σιδήρῳ παρασκευάζειν
paying-down it-being-possible with-the iron to-provide
καὶ οὐ τοῖς χρήμασι ποιεῖσθαι τὴν ἀσφάλειαν· ὁ δὲ
and not with-the money to-make the safety he but
ἐκείνους ὑπήγετο διὰ τῶν χρημάτων εἰς εὔνοιαν· καὶ
them drew-over through the money into goodwill and
τέλος ἐκ τῆς γυναικωνίτιδος ἀνελόμενος ἁλουργὲς ἱμάτιον
finally from the women's-quarters having-taken purple cloak
γελοῖος ἀληθῶς τύραννος καὶ τραγικὸς ὄντως ἀνεφάνη.
ridiculous truly tyrant and tragic really appeared
ἐνταῦθα οἱ στρατιῶται χαλεπῶς μὲν εἶχον πρὸς τὴν
there the soldiers ill indeed were toward the
ἀπιστίαν, θῆλυν δὲ οὐχ ὑπομένοντες ὁρᾶν ἐνδεδυκότα
faithlessness female but not enduring to-see having-put-on
στολὴν τὸν δείλαιον ἐπιθέμενοι σπαράττουσιν, οὐδὲ τὸν τῆς
robe the wretch having-attacked tear-apart not-even the of-the
σελήνης κύκλον ἄρξαι σφῶν ἀνασχόμενοι. τοῦτο μὲν δὴ
moon circle to-rule them having-endured this indeed indeed
παρὰ τῆς τῶν φυλάκων εὐνοίας ὑπῆρξε βασιλεῖ τὸ γέρας,
from the of-the guards goodwill belonged to-king the prize
ἀρχῆς ἀμεμφοῦς καὶ δικαίας ἀμοιβὴ θαυμαστή. ὅστις δὲ
of-rule blameless and just reward wonderful what-kind and
ἐπ' αὐτῇ γέγονε ποθεῖτε ἀκούειν· ἀλλ' οὐδὲ τοῦτο ὑμᾶς
after it he-became you-long to-hear but not-even this you
λέληθεν, ὅτι μήτε ἐς τὸν ἐκείνου παῖδα χαλεπὸς μήτε
has-escaped that neither toward the his son harsh nor

ἐς τοὺς φίλους ὕποπτος καὶ δεινὸς εἵλετο γενέσθαι, ἀλλὰ
toward the friends suspicious and terrible he-chose to-be but
ὡς ἔνι μάλιστα πράως εἶχε καὶ εὐμενὴς πᾶσιν ἦν
as was-possible most gently he-was and kindly to-all he-was
καίτοι πολλῶν συκοφαντεῖν ἐθελόντων καὶ διηρμένων ἐπὶ
and-yet many to-play-the-informer wishing and having-raised against
τοὺς οὐκ αἰτίους τὰ κέντρα. πολλῶν δὲ τυχὸν ἀληθῶς
those not guilty the stings many and perhaps truly
ἐνόχων ὄντων ταῖς περὶ αὐτῶν ὑποψίαις, ὁμοίως ἅπασιν
liable being to-the about them suspicions alike to-all
ἦν πρᾷος τοῖς οὐκ ἐξελεγχθεῖσιν οὐδὲ ἀποφανθεῖσι
he-was gentle to-those not convicted nor shown
κοινωνοῖς τῶν ἀτόπων καὶ ἐξαγίστων βουλευμάτων. τὴν δὲ
partners of-the strange and accursed plans the but
ἐς τὸν τοῦ παρανομήσαντος παῖδα καὶ πατήσαντος
toward the of-the(-one) having-broken-the-law son and having-trampled
πίστιν καὶ ὅρκια φειδὼ ἆρα βασιλικὸν ἀληθῶς καὶ
faith and oaths sparing then kingly truly and
θεῖον φήσομεν, ἢ μᾶλλον ἀποδεξόμεθα τὸν Ἀγαμέμνονα
divine shall-we-call or rather shall-we-accept — Agamemnon
χαλεπαίνοντα καὶ πικραινόμενον τῶν Τρώων οὐ τοῖς
being-angry and embittered of-the Trojans not those
ξυνεξελθοῦσι μόνον τῷ Πάριδι καὶ καθυβρίσασι τοῦ
having-gone-out-with only — with-Paris and having-outraged —
Μενέλεω τὴν ἑστίαν, ἀλλὰ καὶ τοῖς κυουμένοις ἔτι καὶ ὧν
of-Menelaus the hearth but also those being-conceived still and of-whom
τυχὸν οὐδὲ αἱ μητέρες τότ᾽ ἐγεγόνεσαν, ὁπότε ἐκεῖνος
perhaps not-even the mothers then had-been-born when he
τὰ περὶ τὴν ἁρπαγὴν ἐνενόει; εἰ δὴ τὸ μὲν ὠμόν
the-things about the rape planned if indeed the indeed savage
τις οἴεται καὶ τραχὺ καὶ ἀπάνθρωπον ἥκιστα βασιλεῖ
anyone thinks and rough and inhuman least to-king

πρέπειν, τὸ πρᾷον δὲ οἶμαι καὶ χρηστὸν καὶ φιλάνθρωπον
to-befit the gentle but I-think and good and humane
ἁρμόττειν ἥκιστα μὲν χαίροντι τιμωρίαις, ἀχθομένῳ δὲ
to-suit least indeed rejoicing in-punishments being-vexed but
ἐπὶ ταῖς τῶν ὑπηκόων ξυμφοραῖς, ὅπως ἂν γίγνωνται,
at the of-the subjects misfortunes however — they-may-happen
εἴτε κακίᾳ σφῶν καὶ ἀμαθίᾳ, εἴτε ἔξωθεν παρὰ τῆς
whether by-baseness their-own and ignorance or from-outside from the
τύχης ἐπάγοιντο, δῆλός ἐστι τούτῳ διδοὺς τὰ νικητήρια.
fortune they-be-brought evident he-is to-this giving the prizes
ἐννοεῖτε γάρ, ὡς περὶ τὸν παῖδα γέγονε τοῦ φύσαντος 38
consider for how about the son he-was than-the(-one) having-begotten
ἀμείνων καὶ δικαιότερος, περὶ δὲ τοὺς ἐκείνου φίλους
better and more-just about but the his friends
πιστότερος τοῦ τὴν φιλίαν ὁμολογήσαντος. ὁ μὲν γὰρ
more-faithful than-the(-one) the friendship having-professed he indeed for
ἅπαντας προεῖτο, ὁ δὲ ἀπέσωσεν ἅπαντας. καὶ εἰ μὲν ἐκεῖνος
all abandoned he but saved all and if indeed he
ταῦτα περὶ τοῦ βασιλέως ἐγνωκὼς τρόπου ἅτε ἐν
these-things about the of-king having-recognized character inasmuch-as in
πολλῷ χρόνῳ κατανοήσας σφόδρα ἐπίστευεν, ἀσφαλῶς μέν
long time having-observed greatly trusted safely indeed
οἱ τὰ τοῦ παιδός, βεβαίως δὲ ὁρμεῖν τὰ τῶν
for-him the-things of-the son firmly but to-lie-at-anchor the-things of-the
φίλων, συνίει μὲν ὀρθῶς, πολλάκις δὲ ἦν πανοῦργος καὶ
friends he-understood indeed rightly often but he-was knavish and
μοχθηρὸς καὶ δυστυχής, πολέμιος ἐθέλων εἶναι τῷ τοιούτῳ
wicked and unfortunate enemy wishing to-be to-the such
καὶ ὃν σφόδρα ἀγαθὸν καὶ διαφερόντως πρᾷον ἠπίστατο
and whom very good and especially gentle he-knew
μισῶν καὶ ἐπιβουλεύων καὶ ἀφαιρούμενος ὧν οὐδαμῶς
hating and plotting and depriving of-what in-no-way

ἐχρῆν. εἰ δέ, ἀνελπίστου μέν οἱ τοῦ παιδὸς τῆς
it-was-needful if but unexpected indeed for-him of-the son the
σωτηρίας τυγχανούσης, χαλεπῆς δὲ καὶ ἀδυνάτου τῆς τῶν
safety being hard but and impossible that of-the
φίλων καὶ τῶν συγγενῶν, τὴν ἀπιστίαν ὅμως προείλετο,
friends and of-the kinsmen the faithlessness nevertheless he-chose
ὁ μὲν ἦν καὶ διὰ ταῦτα μοχθηρὸς καὶ ἀνόητος καὶ
he indeed was also because-of these-things wicked and senseless and
ἀγριώτερος τῶν θηρίων, ὁ δὲ ἥμερος καὶ πρᾷος καὶ
more-savage than-the beasts he but tame and gentle and
μεγαλόφρων, τοῦ μὲν νηπίου κατελεήσας τὴν ἡλικίαν καὶ
high-minded of-the indeed infant having-pitied the age and
τὸν τρόπον, τοῖς δὲ οὐκ ἐξελεγχθεῖσι πράως ἔχων, τοῦ
the character to-those but not convicted gently being of-the(-other)
δὲ ὑπεριδὼν καὶ καταφρονήσας τῶν πονηρευμάτων.
but having-disregarded and having-despised the knaveries
ὁ γὰρ ἃ μηδὲ τῶν ἐχθρῶν τις διὰ μέγεθος ὧν
he for what not-even of-the enemies anyone because-of greatness of-which
αὑτῷ σύνοιδεν ἀδικημάτων ἐλπίζει ξυγχωρῶν εἰκότως
to-himself he-is-conscious-of wrongs hopes granting fittingly
ἀρετῆς ἐστι νικηφόρος, τὴν δίκην μὲν ἐπὶ τὸ κρεῖττον καὶ
in-virtue is victor the justice indeed toward the better and
πρᾳότερον μετατιθείς, σωφροσύνῃ δὲ ὑπερβαλλόμενος τοὺς
gentler changing in-temperance but surpassing those
τὸ μέτριον ἐπιτιθέντας ταῖς τιμωρίαις, ἀνδρείᾳ δὲ διαφέρων
the measure setting to-the punishments in-courage but excelling
τῷ μηδένα πολέμιον ἀξιόχρεων ὑπολαμβάνειν, φρόνησιν
by-the no-one enemy worthy to-suppose wisdom
δὲ ἐπιδεικνύμενος τῷ συγκαταλύειν τὰς ἔχθρας καὶ οὐ
but displaying by-the to-dissolve-together the enmities and not
παραπέμπειν εἰς τοὺς παῖδας οὐδὲ εἰς ἐγγόνους προφάσει
to-pass-on to the children nor to descendants on-pretext

τῆς ἀκριβοῦς δίκης καὶ τοῦ βούλεσθαι ἐπιεικῶς μάλα πίτυος
of-the exact justice and of-the to-wish reasonably very of-pine
δίκην τῶν πονηρῶν ἀφανίζειν τὰ σπέρματα. ἐκείνων γὰρ δὴ
like of-the wicked to-destroy the seeds of-those for indeed
καὶ τὸ ἔργον τόδε, καὶ ἐπ᾽ αὐτῷ τὴν εἰκόνα παλαιὸς ἀπέφηνε
also the work this and on it the image old rendered
λόγος. ὁ δὲ ἀγαθὸς βασιλεὺς μιμούμενος ἀτεχνῶς τὸν θεὸν
saying the but good king imitating simply the god
οἶδε μὲν καὶ ἐκ τῶν πετρῶν ἑσμοὺς μελιττῶν ἐξιπταμένους,
knows indeed also from the rocks swarms of-bees flying-out
καὶ ἐκ τοῦ δριμυτάτου ξύλου τὸν γλυκὺν καρπὸν φυόμενον,
and from the most-pungent tree the sweet fruit growing
σῦκά φημι τὰ χαρίεντα, καὶ ἐξ ἀκανθῶν τὴν σίδην
figs I-mean the charming and from thorns the pomegranate
καὶ ἄλλα ἐξ ἄλλων φυόμενα ἀνόμοια τοῖς γεννῶσι καὶ
and other-things from others growing unlike to-the begetting and
ἀποτίκτουσιν. οὔκουν οἴεται ταῦτα χρῆναι πρὸ τῆς ἀκμῆς
bearing not-then he-thinks these-things to-be-needful before the prime
διαφθείρειν, ἀλλὰ περιμένειν τὸν χρόνον καὶ ἐπιτρέπειν
to-destroy but to-wait-for the time and to-allow
αὐτοῖς ἀπωσαμένοις τῶν πατέρων τὴν ἄνοιαν καὶ τὴν μωρίαν
them having-thrust-away of-the fathers the folly and the stupidity
ἀγαθοῖς γενέσθαι καὶ σώφροσι, ζηλωτὰς δὲ γενομένους τῶν
good to-become and temperate emulators but having-become of-the
πατρῴων ἐπιτηδευμάτων ὑφέξειν ἐν καιρῷ τὴν δίκην,
father's practices to-be-going-to-undergo in season the penalty
οὐκ ἀλλοτρίοις ἔργοις καὶ ξυμφοραῖς παραναλωθέντας.
not for-others' deeds and misfortunes spent-besides
Ἆρ᾽ οὖν ὑμῖν ἱκανῶς δοκοῦμεν ἐκτετελεκέναι τὸν ἀληθινὸν 39
then then to-you sufficiently do-we-seem to-have-completed the true
ἔπαινον; ἢ ποθεῖτε ἀκούειν ὑμεῖς καὶ τὴν καρτερίαν καὶ
praise or do-you-long to-hear you also the endurance and

τὴν σεμνότητα, καὶ ὡς οὐ μόνον ἐστὶ τῶν πολεμίων
the dignity and how not only is by-the enemies
ἀήττητος, ἀλλ᾽ οὔτε αἰσχρᾶς ἐπιθυμίας ἑάλω πώποτε,
unconquered but neither by-shameful desire was-caught ever
οὔτε οἰκίας καλῆς οὔτ᾽ ἐπαύλεως πολυτελοῦς οὔτε ὅρμων
nor house fine nor country-house costly nor necklaces
σμαραγδίνων ἐπιθυμήσας ἀφείλετο βίᾳ ἢ καὶ πειθοῖ
of-emerald having-desired took-away by-force or even by-persuasion
τοὺς κεκτημένους, ἀλλ᾽ οὐδὲ γυναικὸς ἐλευθέρας οὐδὲ
from-those having but not-even of-woman free nor
θεραπαίνης, οὐδὲ ὅλως τὴν ἄδικον ἀφροδίτην ἠγάπησε, καὶ
maidservant nor at-all the unjust love loved and
ὡς οὐδὲ ὧν ὧραι φύουσιν ἀγαθῶν τὴν ἄμετρον ἀπαιτεῖ
how not-even of-what seasons produce goods the immoderate demands
πλησμονήν, οὐδὲ αὐτῷ θέρους ὥρᾳ τοῦ κρυστάλλου
surfeit nor to-him in-summer season of-the ice
μέλει, οὐδὲ μεταβάλλει πρὸς τὰς ὥρας τὴν οἴκησιν, τοῖς
is-a-care nor he-changes with the seasons the dwelling to-those
πονουμένοις δὲ ἀεὶ πάρεστι τῆς ἀρχῆς μέρεσιν ἀντέχων
toiling but always he-is-present of-the rule parts holding-out
καὶ πρὸς τὸ κρύος καὶ πρὸς τὰ θάλπη τὰ γενναῖα; τούτων
both against the cold and against the heats the intense of-these
δὲ εἴ με κελεύοιτε φέρειν ὑμῖν ἐμφανῆ τὰ τεκμήρια, γνώριμα
but if me you-should-bid to-bring to-you manifest the proofs known
μὲν ἐρῶ καὶ οὐκ ἀπορήσω, μακρὸς δὲ ὁ λόγος καὶ
indeed I-shall-tell and not I-shall-be-at-a-loss long but the speech and
διωλύγιος, ἐμοί τε οὐ σχολὴ τὰς μούσας ἐπὶ τοσοῦτον
endless for-me and not leisure the muses for so-much
θεραπεύειν, ἀλλ᾽ ὥρα λοιπὸν πρὸς ἔργον τρέπεσθαι.
to-serve but it-is-time henceforth to work to-turn

JULIAN

ΕΥΣΕΒΙΑΣ ΤΗΣ ΒΑΣΙΛΙΔΟΣ ΕΓΚΩΜΙΟΝ

Panegyric on Eusebia

Ingratitude is hateful, whether in deeds or in silence. Some refuse praise for fear of seeming to flatter, but praise is not useless: it delights the praised and rouses others to emulation, and unlike money, which Arcesilaus gave even in secret, it is given openly, as Socrates, Plato, Aristotle, and Xenophon gave it. Women share virtue with men, and a woman's kindness must be repaid with praise too; Homer praised Penelope and Arete, and let Odysseus supplicate Nausicaa; Athena, disguised as a maiden, guided him to the palace and counseled him, praising Arete and her family like an orator. Julian will praise Eusebia in the same order: her country, her fathers, and her marriage.

Τί ποτε ἄρα χρὴ διανοεῖσθαι περὶ τῶν ὀφειλόντων 1
what ever then is-it-needful to-think about those owing
μεγάλα καὶ πέρα μεγάλων, οὔτι φημὶ χρυσίον οὐδὲ
great-things and beyond great-things not-at-all I-mean gold nor
ἀργύριον, ἀλλὰ ἁπλῶς ὅ τι ἂν τύχῃ τις παρὰ
silver but simply what thing — may-happen anyone from
τοῦ πέλας εὖ παθών· εἶτα τοιαῦτα μὲν ἀποτίνειν οὔτε
the neighbor well having-fared then such-things indeed to-repay neither
ἐπιχειρούντων οὔτε διανοουμένων, ῥᾳθύμως δὲ καὶ ὀλιγώρως
attempting nor intending lazily but and negligently
ἐχόντων πρὸς τὸ τὰ δυνατὰ ποιεῖν καὶ διαλύεσθαι τὸ
being toward the the possible-things to-do and to-discharge the
ὄφλημα; ἢ δῆλον ὅτι φαύλους καὶ μοχθηροὺς νομιστέον;
debt or evident that base and wicked one-must-consider
οὐδενὸς γὰρ οἶμαι τῶν ἄλλων ἀδικημάτων ἔλαττον μισοῦμεν
than-none for I-think of-the other wrongs less we-hate
ἀχαριστίαν καὶ ὀνειδίζομεν τοῖς ἀνθρώποις, ὅταν εὖ παθόντες
ingratitude and we-reproach to-the men when well having-fared
περὶ τοὺς εὐεργέτας ὦσιν ἀχάριστοι· ἔστι δὲ οὐχ οὗτος
toward the benefactors they-are ungrateful is but not this-one

ἀχάριστος μόνον, ὅστις εὖ παθὼν δρᾷ κακῶς ἢ λέγει, ἀλλὰ
ungrateful only whoever well having-fared does badly or speaks but
καὶ ὅστις σιωπᾷ καὶ ἀποκρύπτει, λήθῃ παραδιδοὺς
also whoever keeps-silent and hides to-forgetfulness handing-over
καὶ ἀφανίζων τὰς χάριτας. καὶ τῆς μὲν θηριώδους ἐκείνης
and making-vanish the favors and of-the indeed brutish that
καὶ ἀπανθρώπου μοχθηρίας σφόδρα ὀλίγα καὶ εὐαρίθμητα
and inhuman wickedness very few and easily-counted
κομιδῇ τὰ παραδείγματα· πολλοὶ δὲ ἀποκρύπτουσι τὸ δοκεῖν
quite the examples many but hide the to-seem
εὖ παθεῖν, οὐκ οἶδα ὅ τι βουλόμενοι· φασὶ δὲ ὅμως
well to-have-fared not I-know what thing wishing they-say but nevertheless
θωπείας τινὸς καὶ ἀγεννοῦς κολακείας τὴν δόξαν ἐκκλίνειν.
of-fawning some and ignoble flattery the reputation to-avoid
ἐγὼ δὲ τούτους μὲν ὅτι μηδὲν ὑγιὲς λέγουσι σαφῶς εἰδὼς
I but these indeed that nothing sound they-say clearly knowing
ὅμως ἀφίημι, καὶ κείσθω διαφεύγειν αὐτούς, καθάπερ
nevertheless let-go and let-it-be-granted to-escape them as
οἴονται, κολακείας οὐκ ἀληθῆ δόξαν, πολλοῖς ἅμα πάθεσιν
they-think of-flattery not true reputation to-many at-once passions
ἐνόχους φανέντας καὶ νοσήμασιν αἰσχίστοις πάνυ καὶ
liable having-appeared and diseases most-shameful very and
ἀνελευθέροις. ἢ γὰρ οὐ συνιέντες ἀναίσθητοι λίαν εἰσίν,
illiberal either for not understanding insensible very they-are
ὧν οὐδαμῶς ἀναίσθητον εἶναι χρῆν, ἢ συνιέντες
of-what in-no-way insensible to-be it-was-needful or understanding
ἐπιλήσμονες ὧν ἐχρῆν εἰς ἅπαντα μεμνῆσθαι τὸν
forgetful of-what it-was-needful for all to-remember the
χρόνον· μεμνημένοι δὲ καὶ ἀποκνοῦντες δι' ἀσδηποτοῦν
time remembering but and shrinking for whatsoever
αἰτίας δειλοὶ καὶ βάσκανοι φύσει καὶ ἁπλῶς ἅπασιν
cause cowardly and envious by-nature and simply to-all

ἀνθρώποις δυσμενεῖς, οἵ γε οὐδὲ τοῖς εὐεργέταις πρᾷοι
men hostile who indeed not-even to-the benefactors gentle
καὶ προσηνεῖς ἐθέλοντες εἶναι, εἶτα, ἂν μὲν δέῃ
and kindly wishing to-be then if indeed it-be-needful
λοιδορῆσαί που καὶ δακεῖν, ὥσπερ τὰ θηρία ὀργίλον καὶ
to-revile somewhere and to-bite like the beasts angrily and
ὀξὺ βλέπουσιν· ὥσπερ δὲ ἀνάλωμα πολυτελὲς φεύγοντες
sharply they-look as but expenditure costly fleeing
τὸν ἀληθινὸν ἔπαινον, οὐκ οἶδ' ὅπως, αἰτιῶνται τὰς ὑπὲρ
the true praise not I-know how they-blame the about
τῶν καλῶν ἔργων εὐφημίας, ἐξὸν ἐκεῖνο ἐξετάζειν
the fine deeds praises it-being-possible that to-examine
μόνον, εἰ τὴν ἀλήθειαν τιμῶσι καὶ περὶ πλείονος ποιοῦνται
only if the truth they-honor and of more they-make
τοῦ δοκεῖν ἐν τοῖς ἐπαίνοις χαρίζεσθαι.
than-the to-seem in the praises to-gratify
οὐδὲ γὰρ τοῦτο ἔνεστιν εἰπεῖν, ὡς ἀνωφελὲς χρῆμα ἡ
not-even for this is-possible to-say that unprofitable thing the
εὐφημία οὔτε τοῖς ὑπὲρ ὧν γέγονεν οὔτε αὖ τοῖς ἄλλοις,
praise neither to-those about whom it-has-been nor again to-the others
ὁπόσοι τὴν ἴσην ἐκείνοις κατὰ τὸν βίον τάξιν εἰληχότες
as-many-as the equal with-them in the life rank having-obtained
τῆς ἐν ταῖς πράξεσιν ἀρετῆς ἀπελείφθησαν. τοῖς μὲν
from-the in the deeds virtue fell-short to-the(-ones) indeed
γὰρ ἄκουσμά τέ ἐστιν ἡδὺ καὶ προθυμοτέρους παρέχει
for hearing both is sweet and more-eager makes
περὶ τὰ καλὰ καὶ διαφέροντα τῶν ἔργων· τοὺς δὲ ἐπὶ
about the fine and excellent of-the deeds the(-others) but to
τὸ ζηλοῦν ἐκεῖνα πειθοῖ καὶ βίᾳ παρώρμησεν ὁρῶντας
the to-emulate those by-persuasion and by-force it-urged seeing
ὅτι μηδὲ τῶν προλαβόντων τινὲς ἀπεστερήθησαν ὃ
that not-even of-those having-gone-before some were-deprived which

μόνον δοῦναί τε καὶ λαβεῖν ἐστι δημοσίᾳ καλόν. χρήματα
alone to-give both and to-receive is publicly fine money
μὲν γὰρ εἰς τὸ ἐμφανὲς διδόναι καὶ περιβλέπειν, ὅπως ὅτι
indeed for into the open to-give and to-look-around so-that as
πλεῖστοι τὸ δοθὲν εἴσονται, πρὸς ἀνδρὸς ἀπειροκάλου·
most the-thing given will-know of man vulgar
ἀλλ᾽ οὐδὲ ὑποσχὼν τὼ χεῖρε ὑποδέξαιτ᾽ ἄν τις ἐν
but not-even holding-out the-two hands would-receive — anyone in
ὀφθαλμοῖς πάντων, μὴ παντάπασιν ἀποσεισάμενος αἰδῶ
eyes of-all not altogether having-shaken-off modesty
καὶ ἐπιείκειαν τοῦ τρόπου. Ἀρκεσίλαος δὲ καὶ διδοὺς
and fairness of-the character Arcesilaus and even giving
τὸν λαβόντα ἐπειρᾶτο λαθεῖν· συνίει δὲ ἐκεῖνος
the(-one) having-received tried to-escape-the-notice-of understood but he
ἐκ τῆς πράξεως τὸν δράσαντα. ἐπαίνων δὲ ζηλωτὸν
from the deed the(-one) having-done of-praises but enviable
μὲν ἀκροατὰς ὡς πλείστους εὑρεῖν, ἀγαπητὸν δὲ οἶμαι
indeed hearers as most to-find acceptable but I-think
καὶ ὀλίγους. καὶ ἐπῄνει δὲ Σωκράτης πολλοὺς καὶ
also few and praised and Socrates many and
Πλάτων καὶ Ἀριστοτέλης· Ξενοφῶν δὲ καὶ Ἀγησίλαον
Plato and Aristotle Xenophon and also Agesilaus
τὸν βασιλέα καὶ Κῦρον τὸν Πέρσην, οὔτι τὸν ἀρχαῖον
the king and Cyrus the Persian not-at-all the ancient
ἐκεῖνον μόνον, ἀλλὰ καὶ τὸν ᾧ συνεστράτευτο ἐπὶ
that only but also the(-one) with-whom he-had-campaigned against
βασιλέα καὶ τοὺς ἐπαίνους ξυγγράφων οὐκ ἀπεκρύπτετο.
king and the praises composing not hid
2 ἐμοὶ δὲ θαυμαστὸν εἶναι δοκεῖ, εἰ τοὺς ἄνδρας μὲν τοὺς
to-me but wonderful to-be seems if the men indeed the
καλούς τε κἀγαθοὺς προθύμως ἐπαινεσόμεθα, γυναῖκα δὲ
fine both and-good eagerly we-shall-praise woman but

ἀγαθὴν τῆς εὐφημίας οὐκ ἀξιώσομεν, ἀρετῆς οὐδὲν μεῖον
good of-the praise not we-shall-deem-worthy of-virtue nothing less
αὐταῖς ἥπερ τοῖς ἀνδράσι προσήκειν ὑπολαμβάνοντες. ἢ
to-them than to-the men to-belong supposing or
γὰρ εἶναι σώφρονα καὶ συνετὴν καὶ οἵαν νέμειν ἑκάστῳ
for to-be temperate and intelligent and such-as to-assign to-each
τὰ πρὸς τὴν ἀξίαν καὶ θαρραλέαν ἐν τοῖς δεινοῖς
the-things according-to the worth and bold in the dangers
καὶ μεγαλόφρονα καὶ ἐλευθέριον καὶ πάντα ὡς ἔπος εἰπεῖν
and high-minded and liberal and all-things as word to-say
ὑπάρχειν ἐκείνῃ οἰόμενοι χρῆναι τὰ τοιαῦτα, εἶτα τῶν ἐπὶ
to-belong to-her thinking to-be-needful the such-things then of-the for
τοῖς ἔργοις ἐγκωμίων ἀφαιρησόμεθα τὸν ἐκ τοῦ κολακεύειν
the deeds encomia shall-we-deprive the from the to-flatter
δοκεῖν ψόγον δεδοικότες; Ὅμηρος δὲ οὐκ ᾐσχύνετο τὴν
to-seem blame fearing Homer but not was-ashamed —
Πηνελόπην ἐπαινέσας οὐδὲ τὴν Ἀλκίνου γαμετήν, οὐδὲ εἴ
Penelope having-praised nor the of-Alcinous wife nor if
τις ἄλλη διαφερόντως ἀγαθὴ γέγονεν ἢ καὶ ἐπὶ σμικρὸν
any other especially good has-been or even to small
ἀρετῆς μετεποιήθη. οὔκουν οὐδὲ ἐκείνη τῆς ἐπ᾽ αὐτῷ
to-virtue laid-claim not-then not-even she of-the for this
τούτῳ διήμαρτεν εὐφημίας. πρὸς δὲ αὖ τούτοις παθεῖν
very-thing missed praise besides but again these to-fare
μὲν εὖ καὶ τυχεῖν τινος ἀγαθοῦ, σμικροῦ τε ὁμοίως καὶ
indeed well and to-obtain some good small both alike and
μείζονος, οὐδὲν ἔλαττον παρὰ γυναικὸς ἢ παρὰ ἀνδρὸς
greater no less from woman than from man
δεξόμεθα, τὴν δὲ ἐπ᾽ αὐτῷ χάριν ἀποτίνειν ὀκνήσομεν;
shall-we-accept the but for it gratitude to-repay shall-we-hesitate

ἀλλὰ μή ποτε καὶ αὐτὸ τὸ δεῖσθαι καταγέλαστον εἶναι
but lest ever also itself the to-beg ridiculous to-be
φῶσι καὶ οὐκ ἄξιον ἀνδρὸς ἐπιεικοῦς καὶ γενναίου, εἶναι δὲ
they-say and not worthy of-man reasonable and noble to-be and
καὶ τὸν Ὀδυσσέα τὸν σοφὸν ἀγεννῆ καὶ δειλόν, ὅτι τὴν
also — Odysseus the wise ignoble and cowardly because the
τοῦ βασιλέως ἱκέτευε θυγατέρα παίζουσαν ἐπὶ τοῦ λειμῶνος
of-the king supplicated daughter playing on the meadow
ξὺν ταῖς ὁμήλιξι παρθένοις παρὰ τοῦ ποταμοῦ ταῖς ἠόσι.
with the of-like-age maidens by of-the river the banks
μή ποτε οὖν οὐδὲ τῆς Ἀθηνᾶς τῆς τοῦ Διὸς ἀπόσχωνται
lest ever then not-even — from-Athena the — of-Zeus they-abstain
παιδός, ἣν Ὅμηρός φησιν ἀπεικασθεῖσαν παρθένῳ καλῇ
child whom Homer says having-been-likened to-maiden fair
καὶ γενναίᾳ Ὀδυσσεῖ μὲν ἡγήσασθαι τῆς ἐπὶ τὰ βασίλεια
and noble for-Odysseus indeed to-have-led of-the to the palace
φερούσης ὁδοῦ, σύμβουλον δὲ αὐτῷ καὶ διδάσκαλον
leading road counselor but to-him and teacher
γενομένην, ὧν ἐχρῆν εἴσω παρελθόντα δρᾶν καὶ
having-become of-what it-was-needful within having-gone to-do and
λέγειν, καθάπερ τινὰ ῥήτορα ξὺν τέχνῃ τέλειον ᾄσαι
to-say like some orator with art perfect to-have-sung
βασιλίδος ἐγκώμιον, ἄνωθεν ἀπὸ τοῦ γένους ἀρξαμένην.
of-queen encomium from-above from the family having-begun
ἔχει δὲ αὐτῷ τὰ ὑπὲρ τούτων ἔπη τὸν τρόπον τόνδε·
has and for-him the about these verses the manner this

Δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισιν,
the-mistress indeed first you-will-find in the-halls
Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον, ἐκ δὲ τοκήων
Arete and name is by-which-called from and parents
Τῶν αὐτῶν, οἵπερ τέκον Ἀλκίνοον βασιλῆα.
the same who-very begot Alcinous king

ἀναλαβὼν δὲ ἄνωθεν ἀπὸ τοῦ Ποσειδῶνος οἶμαι τὴν
having-taken-up and from-above from — Poseidon I-think the
ἀρχὴν τοῦ γένους καὶ ὅσα ἔδρασάν τε καὶ ἔπαθον
beginning of-the family and as-many-as they-did both and suffered
εἰπών, καὶ ὅπως αὐτὴν ὁ θεῖος, τοῦ πατρὸς ἀπολομένου
having-told and how her the uncle the father having-perished
νέου καὶ νυμφίου, ἔγημέ τε καὶ ἐτίμησεν,
young and bridegroom married both and honored

ὡς οὔτις ἐπὶ χθονὶ τίεται ἄλλη,
as no-one on earth is-honored other

καὶ ὅσων τυγχάνει
and as-much-as she-obtains

Ἔκ τε φίλων παίδων ἔκ τ' αὐτοῦ Ἀλκινόοιο,
from both dear children from and himself Alcinous

ἔτι δὲ οἶμαι τῆς γερουσίας καὶ τοῦ δήμου, οἳ καθάπερ
still and I-think from-the senate and the people who like
θεὸν ὁρῶσι πορευομένην διὰ τοῦ ἄστεος, τέλος ἐπέθηκε
god behold going through the town end he-put
ταῖς εὐφημίαις ζηλωτὸν ἀνδρὶ καὶ γυναικί,
to-the praises enviable for-man and woman

Οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ
not indeed for at-all of-mind indeed even she-herself lacks good

λέγων, καὶ ὡς κρίνειν εὖ ἠπίστατο, οἷσίν τ' εὖ
saying and how to-judge well she-knew to-whom both well
φρονέῃσι, καὶ διαλύειν τὰ πρὸς ἀλλήλους ἐγκλήματα
she-may-be-disposed and to-dissolve the toward one-another charges
τοῖς πολίταις ἀναφυόμενα ξὺν δίκῃ. ταύτην δὴ οὖν
to-the citizens springing-up with justice this indeed then
ἱκετεύσας εἰ τύχοις εὔνου, πρὸς αὐτὸν ἔφη,
having-supplicated if you-should-find well-disposed to him she-said

Ἐλπωρή τοι ἔπειτα φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
hope for-you then friends both to-see and to-reach
Οἶκον ἐς ὑψόροφον·
house to high-roofed

ὁ δ' ἐπείσθη τῇ ξυμβουλῇ. ἆρ' οὖν ἔτι δεησόμεθα μειζόνων
he but was-persuaded by-the counsel then then still shall-we-need greater
εἰκόνων καὶ ἀποδείξεων ἐναργεστέρων, ὥστε ἀποφυγεῖν τὴν
images and proofs more-evident so-as to-escape the
ἐκ τοῦ κολακεύειν δοκεῖν ὑποψίαν; οὐχὶ δὲ ἤδη μιμούμενοι
from the to-flatter to-seem suspicion not but now imitating
τὸν σοφὸν ἐκεῖνον καὶ θεῖον ποιητὴν ἐπαινέσομεν Εὐσεβίαν
the wise that and divine poet shall-we-praise Eusebia

τὴν ἀρίστην, ἐπιθυμοῦντες μὲν ἔπαινον αὐτῆς ἄξιον
the best desiring indeed praise of-her worthy
διεξελθεῖν, ἀγαπῶντες δέ, εἰ καὶ μετρίως τυγχάνοιμεν
to-go-through being-content but if even moderately we-should-attain
οὕτω καλῶν καὶ πολλῶν ἐπιτηδευμάτων; καὶ τῶν ἀγαθῶν
so fine and many practices and of-the goods
τῶν ὑπαρχόντων ἐκείνῃ, σωφροσύνης καὶ δικαιοσύνης ἢ
the belonging to-her of-temperance and justice or
πραότητος καὶ ἐπιεικείας ἢ τῆς περὶ τὸν ἄνδρα φιλίας
of-gentleness and fairness or of-the toward the husband love
ἢ τῆς περὶ τὰ χρήματα μεγαλοψυχίας ἢ τῆς περὶ τοὺς
or of-the about the money magnanimity or of-the toward the
οἰκείους καὶ ξυγγενεῖς τιμῆς. προσήκει δὲ οἶμαι καθάπερ
household and kinsmen honor it-befits and I-think as
ἴχνεσιν ἑπόμενον τοῖς ἤδη ῥηθεῖσιν οὕτω ποιεῖσθαι τὴν ξὺν
in-tracks following the already said so to-make the with
εὐφημίᾳ τάξιν, ἀποδιδόντα τὴν αὐτὴν ἐκείνῃ, πατρίδος τε,
praise order rendering the same to-her of-fatherland both
ὡς εἰκός, καὶ πατέρων μνημονεύοντα, καὶ ὅπως ἐγήματο
as likely and of-fathers making-mention and how she-was-married
καὶ ᾧτινι, καὶ τἆλλα πάντα τὸν αὐτὸν ἐκείνοις τρόπον.
and to-whom and the-other-things all the same as-those manner

Julian passes over the myths of Macedonia and tells how Heracles' descendants from Argos founded its kingdom; of its many good kings Philip and Alexander surpassed all but Cyrus, Alexander conquering Asia. Its greatest city is named for a victory over the Thessalians. Eusebia is the daughter of a consul, an office that, once all-powerful, is still the honor every private man and emperor covets, and the first of a family to win it is the more glorious. The emperor chose her for her education, intelligence, and beauty together. Her family is wholly Greek and her city the mother city of Macedonia; her mother surpassed Evadne and Laodamia in chastity, and as a widow won a fame Penelope never had: no suitor dared approach her, and the emperor himself married her daughter.

3 Περὶ μὲν οὖν τῆς πατρίδος πολλὰ σεμνὰ λέγειν ἔχων,
about indeed then the fatherland many august-things to-say having
τὰ μὲν διὰ παλαιότητα παρήσειν μοι δοκῶ·
the-things indeed because-of antiquity to-be-going-to-pass-over to-myself I-seem
φαίνεται γὰρ εἶναι τῶν μύθων οὐ πόρρω· ὁποῖον δή τι
appears for to-be of-the myths not far such-as indeed some
καὶ τὸ περὶ τῶν Μουσῶν λεγόμενον, ὡς εἶεν δήπουθεν
also the about — Muses said that they-were surely
ἐκ τῆς Πιερίας, οὐχὶ δὲ ἐξ Ἑλικῶνος εἰς τὸν Ὄλυμπον
from — Pieria not but from Helicon to — Olympus
ἀφίκοιντο παρὰ τὸν πατέρα κληθεῖσαι. τοῦτο μὲν δὴ
came to the father summoned this indeed indeed
καὶ εἰ δή τι τοιοῦτον ἕτερον, μύθῳ μᾶλλον ἢ λόγῳ
and if indeed anything such other to-myth rather than to-history
προσῆκον, ἀπολειπτέον· ὀλίγα δὲ εἰπεῖν τῶν οὐ πᾶσι
belonging one-must-leave few-things but to-say of-the-things not to-all
γνωρίμων τυχὸν οὐκ ἄτοπον οὐδὲ ἀπὸ τοῦ παρόντος
known perhaps not out-of-place nor from the present
λόγου. Μακεδόνων γὰρ οἰκίσαι φασὶ τὴν χώραν τοὺς
speech of-Macedonians for to-have-settled they-say the country the

Ἡρακλέους ἐγγόνους, Τημένου παῖδας, οἳ τὴν Ἀργείαν
of-Heracles descendants of-Temenus sons who the Argive
λῆξιν νεμόμενοι καὶ στασιάζοντες τέλος ἐποιήσαντο τὴν
allotment occupying and quarreling end made the
ἀποικίαν τῆς πρὸς ἀλλήλους ἔριδος καὶ φιλοτιμίας· εἶτα
colony of-the toward one-another strife and ambition then
ἑλόντες τὴν Μακεδονίαν καὶ γένος ὄλβιον ἀπολιπόντες
having-taken — Macedonia and race blessed having-left-behind
βασιλεῖς ἐκ βασιλέων διετέλουν καθάπερ κλῆρον τὴν
kings from kings they-continued like estate the
τιμὴν διαδεχόμενοι. πάντας μὲν οὖν αὐτοὺς ἐπαινεῖν οὔτε
honor succeeding-to all indeed then them to-praise neither
ἀληθὲς οὔτε οἶμαι ῥᾴδιον.
true nor I-think easy
πολλῶν δὲ ἀγαθῶν ἀνδρῶν γενομένων καὶ καταλιπόντων
many but good men having-been and having-left
Ἑλληνικοῦ τρόπου μνημεῖα πάγκαλα, Φίλιππος καὶ ὁ
of-Greek manner memorials all-beautiful Philip and the
τούτου παῖς ἀρετῇ διηνεγκάτην πάντων, ὅσοι πάλαι
his son in-virtue excelled than-all as-many-as of-old
Μακεδονίας καὶ Θρᾴκης ἦρξαν, οἶμαι δὲ ἔγωγε καὶ ὅσοι
of-Macedonia and of-Thrace ruled I-think and I also as-many-as
Λυδῶν ἢ Μήδων καὶ Περσῶν καὶ Ἀσσυρίων, πλὴν μόνου
of-Lydians or of-Medes and of-Persians and of-Assyrians except only
τοῦ Καμβύσου παιδός, ὃς ἐκ τῶν Μήδων ἐς Πέρσας
the of-Cambyses son who from the Medes to Persians
τὴν βασιλείαν μετέστησεν. ὁ μὲν γὰρ πρῶτος ἐπειράθη
the kingship transferred he indeed for first tried
τὴν Μακεδόνων αὐξῆσαι δύναμιν, καὶ τῆς Εὐρώπης τὰ
the of-Macedonians to-increase power and — of-Europe the
πλεῖστα καταστρεψάμενος ὅρον ἐποιήσατο πρὸς ἕω μὲν
most-part having-subdued boundary made toward east indeed

καὶ πρὸς μεσημβρίαν τὴν θάλατταν, ἀπ᾽ ἄρκτων δὲ οἶμαι
and toward south the sea from north but I-think
τὸν Ἴστρον καὶ πρὸς ἑσπέραν τὸ Ὡρικὸν ἔθνος. ὁ τούτου
— Ister and toward west the Orician nation the his
δὲ αὖ παῖς ὑπὸ τῷ Σταγειρίτῃ σοφῷ τρεφόμενος
but in-turn son under the Stagirite sage being-reared
τοσοῦτον μεγαλοψυχίᾳ τῶν ἄλλων ἁπάντων διήνεγκε
so-much in-magnanimity than-the others all excelled
καὶ προσέτι τὸν αὑτοῦ πατέρα τῇ στρατηγίᾳ καὶ τῇ
and besides the his-own father in-the generalship and in-the
θαρραλεότητι καὶ ταῖς ἄλλαις ἀρεταῖς ὑπερβαλλόμενος,
boldness and in-the other virtues surpassing
ὥστ᾽ οὐκ ἄξιον αὑτῷ ζῆν ὑπελάμβανεν, εἰ μὴ ξυμπάντων
so-that not worthy for-himself to-live he-supposed if not of-all
μὲν ἀνθρώπων, πάντων δὲ ἐθνῶν κρατήσειεν.
indeed men of-all and nations he-should-be-master
οὐκοῦν τὴν μὲν Ἀσίαν ἐπῆλθε σύμπασαν καταστρεφόμενος,
therefore — indeed Asia he-went-over all subduing
καὶ ἀνίσχοντα πρῶτος ἀνθρώπων τὸν ἥλιον προσεκύνει,
and rising first of-men the sun he-worshiped
ὡρμημένον δὲ αὐτὸν ἐπὶ τὴν Εὐρώπην, ὅπως τὰ
having-set-out but him for — Europe so-that the-things
λειπόμενα περιβαλόμενος γῆς τε ἁπάσης καὶ θαλάττης
remaining having-embraced of-earth both all and of-sea
κύριος γένοιτο, τὸ χρεὼν ἐν Βαβυλῶνι κατέλαβε.
lord he-might-become the fate in Babylon seized
Μακεδόνες δὲ ἁπάντων ἦρχον, ὧν ὑπ᾽ ἐκείνῳ κτησάμενοι
Macedonians and over-all ruled which under him having-acquired
πόλεων καὶ ἐθνῶν ἔτυχον. ἆρ᾽ οὖν ἔτι χρὴ διὰ
of-cities and nations they-obtained then then still is-it-needful through
μειζόνων τεκμηρίων δηλοῦν, ὡς ἔνδοξος μὲν ἡ Μακεδονία
greater proofs to-show that famous indeed — Macedonia

καὶ μεγάλη τὸ πρόσθεν γένοιτο; ταύτης δὲ αὐτῆς τὸ
and great the before became of-this and itself the
κράτιστον ἡ πόλις ἐκείνη, ἣν ἀνέστησαν, πεσόντων,
strongest the city that which they-raised having-fallen
οἶμαι, Θετταλῶν, τῆς κατ᾽ ἐκείνων ἐπώνυμον νίκης.
I-think Thessalians of-the over them named victory
καὶ περὶ μὲν τούτων οὐδὲν ἔτι δέομαι μακρότερα λέγειν. 4
and about indeed these-things nothing still I-need longer-things to-say
Εὐγενείας γε μὴν τί ἂν ἔχοιμεν ἔτι πράγματα
of-noble-birth indeed indeed why — could-we-have still troubles
ἐπιζητοῦντες φανερώτερον καὶ ἐναργὲς μᾶλλον τεκμήριον;
seeking-further more-manifest and clear more proof
θυγάτηρ γάρ ἐστιν ἀνδρὸς ἀξίου νομισθέντος τὴν ἐπώνυμον
daughter for she-is of-man worthy thought the eponymous
τοῦ ἔτους ἀρχὴν ἄρχειν, πάλαι μὲν ἰσχυρὰν καὶ βασιλείαν
of-the year office to-hold long-ago indeed strong and kingship
ἀτεχνῶς ὀνομαζομένην, μεταβαλοῦσαν δὲ διὰ τοὺς οὐκ
simply named having-changed but because-of those not
ὀρθῶς χρωμένους τῇ δυνάμει τὸ ὄνομα· νῦν δὲ ἤδη τῆς
rightly using the power the name now but already the
δυνάμεως ἐπιλειπούσης, ἐπειδὴ πρὸς μοναρχίαν τὰ τῆς
power failing since to monarchy the-things of-the
πολιτείας μεθέστηκε, τιμὴ καθ᾽ αὑτὴν τῶν ἄλλων ἁπάντων
constitution has-changed honor by itself of-the other all-things
στερομένη πρὸς πᾶσαν ἰσχὺν ἀντίρροπος εἶναι δοκεῖ, τοῖς
deprived against every strength counterbalancing to-be seems to-the
μὲν ἰδιώταις οἷον ἆθλον ἀποκειμένη καὶ γέρας ἀρετῆς
indeed private-persons as prize laid-up and reward of-virtue
ἢ πίστεως ἤ τινος εὐνοίας καὶ ὑπηρεσίας περὶ τοὺς
or of-faith or of-some goodwill and service toward the
τῶν ὅλων ἄρχοντας ἢ πράξεως λαμπρᾶς, τοῖς βασιλεῦσι
of-the whole rulers or of-deed brilliant for-the kings

δὲ πρὸς οἷς ἔχουσιν ἀγαθοῖς οἷον ἄγαλμα καὶ κόσμος
but besides which they-have goods as statue and ornament
ἐπιτιθεμένη· τῶν μὲν γὰρ ἄλλων ὀνομάτων τε καὶ ἔργων,
put-on of-the indeed for other names both and works
ὁπόσα τῆς παλαιᾶς ἐκείνης πολιτείας διασώζει τινὰ
as-many-as of-the ancient that constitution preserves some
φαύλην καὶ ἀμυδρὰν εἰκόνα, ἢ παντάπασιν ὑπεριδόντες
mean and faint image either altogether having-disdained
διὰ τὴν ἰσχὺν κατέγνωσαν, ἢ προσιέμενοί γε διὰ
because-of the strength they-condemned or admitting indeed through
βίου καρποῦνται τὰς ἐπωνυμίας· μόνης δέ, οἶμαι, ταύτης
life enjoy the titles of-only but I-think this
οὔτε τὴν ἀρχὴν ὑπερεῖδον, χαίρουσί τε καὶ πρὸς ἐνιαυτὸν
neither the beginning they-disdained rejoice both even for year
τυγχάνοντες· καὶ οὔτε ἰδιώτης οὐδεὶς οὔτε βασιλεύς ἐστιν
obtaining and neither private-person any nor king is
ἢ γέγονεν, ὃς οὐ ζηλωτὸν ἐνόμισεν ὕπατος ἐπονομασθῆναι.
or has-been who not enviable thought consul to-be-named
εἰ δέ, ὅτι πρῶτος ἔτυχεν ἐκεῖνος καὶ γέγονεν ἀρχηγὸς τῷ
if but because first obtained he and became founder for-the
γένει τῆς εὐδοξίας, ἔλαττόν τις ἔχειν αὐτὸν τῶν ἄλλων
family of-the glory less anyone to-have him than-the others
ὑπολαμβάνει, λίαν ἐξαπατώμενος οὐ μανθάνει· τῷ παντὶ
supposes very being-deceived not he-learns by-the whole
γὰρ οἶμαι κρεῖττόν ἐστι καὶ σεμνότερον ἀρχὴν παρασχεῖν
for I-think better it-is and more-august beginning to-provide
τοῖς ἐγγόνοις περιφανείας τοσαύτης ἢ λαβεῖν παρὰ τῶν
to-the descendants of-distinction so-great than to-receive from the
προγόνων. ἐπεὶ καὶ πόλεως μεγίστης οἰκιστὴν γενέσθαι
ancestors since also of-city greatest founder to-become
κρεῖττον ἢ πολίτην, καὶ λαβεῖν ὁτιοῦν ἀγαθὸν τοῦ
better than citizen and to-receive anything-whatever good than-the

δοῦναι τῷ παντὶ καταδεέστερον. λαμβάνειν δὲ ἐοίκασι παρὰ
to-give by-the whole inferior to-receive but seem from
τῶν πατέρων οἱ παῖδες καὶ οἱ πολῖται παρὰ τῶν πόλεων οἷον
the fathers the children and the citizens from the cities as
ἀφορμάς τινας πρὸς εὐδοξίαν. ὅστις δὲ ἀποδίδωσι πάλιν ἐξ
starting-points some for glory whoever but renders back from
ἑαυτοῦ προγόνοις τε καὶ πατρίδι μείζονα τιμῆς ὑπόθεσιν,
himself to-ancestors both and to-fatherland greater of-honor foundation
λαμπροτέραν μὲν ἐκείνην καὶ σεμνοτέραν, τοὺς πατέρας
more-brilliant indeed that and more-august the fathers
δὲ ἐνδοξοτέρους ἀποφαίνων, οὗτος οὐδενὶ δοκεῖ καταλιπεῖν
but more-glorious rendering this-one to-no-one seems to-leave
πρὸς εὐγενείας λόγον ἅμιλλαν· οὐδὲ ἔστιν ὅστις ἐκείνου
for of-noble-birth account rivalry nor is-there who than-him
φήσει κρείττων γεγονέναι· ἐξ ἀγαθῶν μὲν γὰρ ἀγαθὸν
will-claim better to-have-been from good indeed for good
φῦναι χρή. ὁ δὲ ἐξ ἐνδόξων ἐνδοξότερος γενόμενος,
to-be-born it-is-needful he but from glorious more-glorious having-become
ἐς ταὐτὸν ἀρετῇ τῆς τύχης πνεούσης, οὗτος οὐδενὶ
to the-same with-virtue the fortune blowing this-one to-no-one
δίδωσιν ἀπορεῖν, εἰ τῆς εὐγενείας εἰκότως μεταποιεῖται.
gives to-be-at-a-loss if to-the noble-birth fittingly he-lays-claim
Εὐσεβία δέ, περὶ ἧς ὁ λόγος, παῖς μὲν ὑπάτου γέγονε, 5
Eusebia but about whom the speech child indeed of-consul was-born
γαμετὴ δέ ἐστι βασιλέως ἀνδρείου, σώφρονος, συνετοῦ,
wife but is of-king brave temperate intelligent
δικαίου, χρηστοῦ καὶ πρᾴου καὶ μεγαλοψύχου, ὃς ἐπειδὴ
just good and gentle and magnanimous who when
πατρῴαν οὖσαν αὐτῷ τὴν ἀρχὴν ἀνεκτήσατο, ἀφελόμενος
father's being for-him the rule he-recovered having-taken-it-away
τοῦ βίᾳ λαβόντος, γάμου τε ἐδεῖτο πρὸς παίδων
from-the(-one) by-force having-taken of-marriage both needed for of-children

γένεσιν, οἳ κληρονομήσουσι τῆς τιμῆς καὶ τῆς ἐξουσίας,
begetting who will-inherit of-the honor and of-the power
ταύτην ἀξίαν ἔκρινε τῆς κοινωνίας γεγονὼς ἤδη σχεδόν
this-one worthy judged of-the partnership having-become already nearly
τι τῆς οἰκουμένης ἁπάσης κύριος. καίτοι πῶς ἄν τις
somewhat of-the inhabited-world all lord and-yet how — anyone
μείζονα μαρτυρίαν ἐπιζητήσειε τῆσδε; οὐ μόνον περὶ τῆς
greater testimony could-seek than-this not only about the
εὐγενείας αὐτῆς, ὑπὲρ δὲ ἁπάντων ἁπλῶς, ὅσα χρὴν
noble-birth her about but all-things simply as-many-as it-was-needful
οἶμαι τὴν βασιλεῖ τοσούτῳ συνιοῦσαν, καθάπερ φερνὴν
I-think the(-woman) with-king so-great coming-together as dowry
οἴκοθεν ἐπιφερομένην, κομίζειν ἀγαθά, παιδείαν ὀρθήν,
from-home bringing to-bring goods education right
σύνεσιν ἐμμελῆ, ἀκμὴν καὶ ὥραν σώματος καὶ κάλλος
intelligence harmonious bloom and prime of-body and beauty
τοσοῦτον, ὥστε ἀποκρύπτεσθαι τὰς ἄλλας παρθένους,
so-great that to-be-hidden the other maidens
καθάπερ οἶμαι περὶ τῇ σελήνῃ πληθούσῃ οἱ διαφανεῖς
as I-think about the moon full the bright
ἀστέρες καταυγαζόμενοι κρύπτουσι τὴν μορφήν. ἓν μὲν
stars outshone hide the form one indeed
γὰρ τούτων οὐδὲν ἐξαρκεῖν δοκεῖ πρὸς κοινωνίαν βασιλέως,
for of-these nothing to-suffice seems for partnership of-king
πάντα δὲ ἅμα, ὥσπερ θεοῦ τινος ἀγαθῷ βασιλεῖ καλὴν καὶ
all-things but together as god some for-good king fair and
σώφρονα πλάττοντος τὴν νύμφην, εἰς ταὐτὸ συνεληλυθότα
temperate fashioning the bride into the-same having-come-together
πόρρωθεν καὶ οὐκ ἀπὸ τῶν ὀμμάτων ἐφελκυσάμενα μάλα
from-afar and not from the eyes having-drawn very
ὄλβιον ἦγε τὸν νυμφίον. κάλλος μὲν γὰρ τῆς ἐκ τοῦ
blessed led the bridegroom beauty indeed for of-the from the

γένους βοηθείας καὶ τῶν ἄλλων ἀγαθῶν οἶμαι στερόμενον
family support and of-the other goods I-think deprived
οὐδὲ ἰδιώτην ἀκόλαστον ἰσχύει πείθειν τὴν γαμήλιον
not-even private-person licentious is-able to-persuade the nuptial
ἀνάψαι λαμπάδα, ἅμφω δὲ ἅμα συνελθόντα γάμον μὲν
to-kindle torch both but together having-come-together marriage indeed
ἥρμοσε πολλάκις, ἀπολειπόμενα δὲ τῆς ἐκ τῶν τρόπων
fitted often falling-short but of-the from the characters
ἁρμονίας καὶ χάριτος οὐ λίαν ἐφάνη ζηλωτά.
harmony and grace not very appeared enviable
Ταῦτα ἐπιστάμενον σαφῶς τὸν βασιλέα τὸν σώφρονα 6
these-things knowing clearly the king the temperate
φαίην ἂν εἰκότως πολλάκις βουλευσάμενον ἑλέσθαι τὸν
I-would-say — fittingly often having-deliberated to-have-chosen the
γάμον, τὰ μὲν οἶμαι πυνθανόμενον, ὅσα χρὴν
marriage the-things indeed I-think inquiring as-many-as it-was-needful
δι᾽ ἀκοῆς περὶ αὐτῆς μαθεῖν, τεκμαιρόμενον δὲ ἀπὸ τῆς
through hearing about her to-learn inferring but from the
μητρὸς τὴν εὐταξίαν· ὑπὲρ ἧς τὰ μὲν ἄλλα τί δεῖ
mother the good-order about whom the indeed other-things why is-it-needful
λέγοντας διατρίβειν, καθάπερ οὐκ ἔχοντας ἴδιον ἐγκώμιον
saying to-waste-time as not having own encomium
τῆς, ὑπὲρ ἧς ὁ λόγος, διελθεῖν; τοσοῦτον δὲ ἴσως
of-the(-woman) about whom the speech to-go-through so-much but perhaps
οὔτε εἰπεῖν οὔτε ἐπακοῦσαι πολὺ καὶ ἐργῶδες, ὅτι δὴ
neither to-say nor to-hear much and laborious that indeed
γένος μὲν αὐτῇ σφόδρα Ἑλληνικόν, Ἑλλήνων τῶν πάνυ,
family indeed to-her very Greek of-Greeks the very
καὶ πόλις ἡ μητρόπολις τῆς Μακεδονίας, σωφροσύνη
and city the mother-city — of-Macedonia temperance
δὲ ὑπέρ τε Εὐάδνην τὴν Καπανέως καὶ τὴν Θετταλὴν
but beyond both Evadne the of-Capaneus and the Thessalian

ἐκείνην Λαοδάμειαν. αἱ μὲν γὰρ καλοὺς καὶ νέους καὶ
that Laodamia they indeed for fine and young and
ἔτι νυμφίους τοὺς ἄνδρας ἀφαιρεθεῖσαι δαιμόνων βίᾳ
still bridegrooms the husbands having-been-deprived-of of-spirits by-force
βασκάνων ἢ μοιρῶν νήμασι τοῦ ζῆν ὑπερεῖδον διὰ
envious or of-fates by-threads the to-live disdained because-of
τὸν ἔρωτα, ἡ δέ, ἐπειδὴ τὸ χρεὼν τὸν κουρίδιον αὐτῆς
the love she but when the fate the wedded her
ἄνδρα κατέλαβε, τοῖς παισὶ προσκαθημένη τοσοῦτον
husband seized to-the children attending so-much
ἐπὶ σωφροσύνῃ κλέος αὑτῇ εἰργάσατο, ὥστε τῇ μὲν
for temperance glory for-herself produced that — indeed
Πηνελόπῃ περιόντος ἔτι καὶ πλανωμένου τοῦ γήμαντος,
to-Penelope surviving still and wandering the(-one) having-married
προσῄει τὰ μειράκια μνηστευσόμενα ἔκ τε Ἰθάκης καὶ
approached the youths going-to-woo from both Ithaca and
Σάμου καὶ Δουλιχίου, τῇ δὲ ἀνὴρ μὲν οὐδεὶς καλὸς καὶ
Samos and Dulichium to-her but man indeed no fine and
μέγας ἢ ἰσχυρὸς καὶ πλούσιος ὑπὲρ τούτων εἰς λόγους
great or strong and rich about these-things into words
ἐλθεῖν ὑπέμεινέ ποτε· τὴν θυγατέρα δὲ βασιλεὺς ἑαυτῷ
to-come dared ever the daughter but king with-himself
συνοικεῖν ἀξίαν ἔκρινε, καὶ ἔδρασε τὸν γάμον λαμπρῶς
to-live-with worthy judged and celebrated the marriage brilliantly
μετὰ τὰ τρόπαια, ἔθνη καὶ πόλεις καὶ δήμους ἑστιῶν.
after the trophies nations and cities and peoples feasting

The splendor of the wedding procession is a tale for children; a musician judges a singer by his art, not his robe, and Julian will not list robes and necklaces. Eusebia's wisdom shows first in how she won her husband's love. Penelope is most admired because Odysseus loved her above Calypso, Circe, and Nausicaa, endured every toil to return to her, and told her all his adventures and plans. Eusebia shares her husband's counsels and turns his justice toward mercy, so that no one has ever suffered punishment through her.

Εἰ δέ τις ἄρα ἐκείνων ἐπακούειν ποθεῖ, ὅπως μὲν ἐκ 7
if but anyone then of-those to-hear longs how indeed from
Μακεδονίας ἐκαλεῖτο μετὰ τῆς μητρὸς ἡ νύμφη, τίς δὲ ἦν
Macedonia was-summoned with the mother the bride what and was
ὁ τῆς πομπῆς τρόπος, ἁρμάτων καὶ ἵππων καὶ ὀχημάτων
the of-the procession manner of-chariots and horses and carriages
παντοδαπῶν χρυσῷ καὶ ἀργύρῳ καὶ ὀρειχάλκῳ μετὰ τῆς
of-all-kinds with-gold and silver and orichalc with the
ἀρίστης τέχνης εἰργασμένων, ἴστω παιδικῶν σφόδρα
best art wrought let-him-know childish very
ἀκουσμάτων ἐπιθυμῶν· καθάπερ γὰρ οἶμαι κιθαρῳδοῦ
things-heard desiring as for I-think of-lyre-singer
τινος δεξιοῦ τὴν τέχνην· ἔστω δέ, εἰ βούλει, Τέρπανδρος
some skilled in-the art let-it-be and if you-wish Terpander
οὗτος ἢ ὁ Μηθυμναῖος ἐκεῖνος, ὃν δὴ λόγος ἔχει
this or the Methymnaean that whom indeed story has
δαιμονίᾳ πομπῇ χρησάμενον φιλομουσοτέρου τοῦ δελφῖνος
with-divine escort having-met more-music-loving the dolphin
τυχεῖν ἢ τῶν ξυμπλεόντων, καὶ ἐπὶ τὴν Λακωνικὴν
to-find than those sailing-with and to the Laconian
ἄκραν κομισθῆναι· ἔθελγε γὰρ οἶμαι τοὺς δυστυχεῖς ναύτας
cape to-be-conveyed charmed for I-think the wretched sailors

ὅσα ἐκεῖνος ἀπὸ τῆς τέχνης εἰργάσατο, αὐτῆς δὲ ἐκείνης
as-much-as he from the art produced itself but that
ὑπερεώρων καὶ οὐδεμίαν ὥραν ἐποιοῦντο τῆς μουσικῆς·
they-disdained and no heed made of-the music
εἰ δὴ οὖν τις τοῖν ἀνδροῖν ἐκείνοιν τὸν κράτιστον
if indeed then anyone of-the-two men those the best
ἐπιλεξάμενος καὶ ἀποδοὺς τὸν περὶ τὸ σῶμα κόσμον τῇ
having-selected and having-given the about the body adornment to-the
τέχνῃ πρέποντα εἶτα ἐς θέατρον παραγάγοι παντοδαπῶν
art befitting then into theater should-bring of-all-kinds
ἀνδρῶν καὶ γυναικῶν καὶ παίδων φύσει τε καὶ ἡλικίᾳ
men and women and children in-nature both and age
καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασι διαφερόντων, οὐκ ἂν οἴεσθε
and the other pursuits differing not — do-you-think
τοὺς μὲν παῖδας καὶ τῶν ἀνδρῶν καὶ γυναικῶν ὁπόσοι
the indeed children and of-the men and women as-many-as
τοιοῦτοι εἰς τὴν ἐσθῆτα καὶ τὴν κιθάραν ἀποβλέποντας
such at the dress and the lyre looking
ἐκπεπλῆχθαι δεινῶς πρὸς τὴν ὄψιν, τῶν ἀνδρῶν δὲ τοὺς
to-be-amazed terribly at the sight of-the men but the
ἀμαθεστέρους καὶ γυναικῶν πλὴν σφόδρα ὀλίγων ἅπαν τὸ
more-ignorant and of-women except very few all the
πλῆθος ἡδονῇ καὶ λύπῃ κρίνειν τὰ κρούματα, μουσικὸν
multitude by-pleasure and pain to-judge the strummings musical
δὲ ἄνδρα, τοὺς νόμους ἐξεπιστάμενον τῆς τέχνης, οὔτε
but man the modes knowing-thoroughly of-the art neither
μιγνύμενα τὰ μέλη τῆς ἡδονῆς χάριν φαύλως ἀνέχεσθαι,
mingled the melodies of-the pleasure for-the-sake meanly to-endure
δυσχεραίνειν τε καὶ εἰ τοὺς τρόπους τῆς μουσικῆς
to-be-vexed both and if the styles of-the music

διαφθείροι καὶ εἰ ταῖς ἁρμονίαις μὴ δεόντως χρῷτο μηδὲ
he-should-corrupt and if the harmonies not as-needful he-should-use nor
ἑπομένως τοῖς νόμοις τῆς ἀληθινῆς καὶ θείας μουσικῆς;
consistently with-the modes of-the true and divine music
ὁρῶν δὲ ἐμμένοντα τοῖς νομισθεῖσι καὶ οὐ κίβδηλον ἡδονήν,
seeing but abiding-by the-things established and not counterfeit pleasure
καθαρὰν δὲ καὶ ἀκήρατον τοῖς θεαταῖς ἐνεργασάμενον ἄπεισι
pure but and undefiled in-the spectators having-produced goes-away
τοῦτον ἐπαινῶν καὶ ἐκπληττόμενος, ὅτι δὴ σὺν τέχνῃ
him praising and amazed that indeed with art
μηδὲν ἀδικῶν τὰς Μούσας τῷ θεάτρῳ ξυγγέγονε. τὸν
in-nothing wronging the Muses with-the theater he-has-consorted the(-one)
δὲ τὴν ἁλουργίδα καὶ τὴν κιθάραν ἐπαινοῦντα ληρεῖν οἴεται
but the purple and the lyre praising to-babble he-thinks
καὶ ἀνοηταίνειν· καὶ εἰ διὰ πλειόνων τὰ τοιαῦτα διηγεῖται,
and to-be-foolish and if through more-words the such-things he-narrates
λέξει τε ἡδίστῃ κοσμῶν καὶ ἐπιλεαίνων τὸ φαῦλον
with-diction both sweetest adorning and smoothing-over the mean
καὶ ἀγεννὲς τῶν διηγημάτων, γελοιότερον νομίζει τῶν
and ignoble of-the narratives more-ridiculous he-thinks than-those
ἀποτορνεύειν τὰς κέγχρους ἐπιχειρούντων, καθάπερ οἶμαι
to-turn-on-a-lathe the millet-seeds attempting as I-think
φασὶ τὸν Μυρμηκίδην ἀντιταττόμενον τῇ Φειδίου τέχνῃ.
they-say — Myrmecides setting-himself-against the of-Phidias art
οὔκουν οὐδὲ ἡμεῖς ἑκόντες αὑτοὺς ταύταις ὑποθήσομεν ταῖς 8
not-then not-even we willingly ourselves to-these shall-subject the
αἰτίαις, ἱματίων πολυτελῶν καὶ δώρων παντοίων ὅρμων τε
charges of-garments costly and gifts of-all-kinds necklaces both
καὶ στεφάνων κατάλογον τῶν ἐκ βασιλέως μακρόν τινα
and crowns catalog of-the from king long some
τοῦτον ᾄδοντες, οὐδὲ ὡς ἀπήντων οἱ δῆμοι δεξιούμενοι καὶ
this singing nor how met-her the peoples greeting and

χαίροντες, οὐδὲ ὅσα κατὰ τὴν ὁδὸν ἐκείνην λαμπρὰ καὶ
rejoicing nor as-many-as along the road that brilliant and
ζηλωτὰ γέγονε καὶ ἐνομίσθη. ἀλλ᾽ ἐπειδὴ τῶν βασιλείων εἴσω
enviable happened and were-thought but when the palace inside
παρῆλθε καὶ τῆς ἐπωνυμίας ταύτης ἠξιώθη, τί πρῶτον
she-passed and of-the title this was-deemed-worthy what first
ἔργον ἐκείνης γέγονε, καὶ αὖθις δεύτερον, καὶ ἐπ᾽ αὐτῷ
deed hers became and again second and after it
τρίτον, καὶ πολλὰ δὴ μάλα τὸ ἐντεῦθεν; οὐ γάρ, εἰ σφόδρα
third and many indeed very the thenceforth not for if greatly
λέγειν ἐθέλοιμι καὶ μακρὰς ὑπὲρ τούτων βίβλους ξυντιθέναι,
to-speak I-should-wish and long about these books to-compose
ἀρκέσειν ὑπολαμβάνω τῷ πλήθει τῶν ἔργων, ὅσα
to-be-going-to-suffice I-suppose for-the multitude of-the deeds as-many-as
ἐκείνῃ φρόνησιν καὶ πρᾳότητα καὶ σωφροσύνην καὶ
for-her wisdom and gentleness and temperance and
φιλανθρωπίαν ἐπιείκειάν τε καὶ ἐλευθεριότητα καὶ τὰς
humanity fairness both and liberality and the
ἄλλας ἀρετὰς ἐξεμαρτύρησε λαμπρότερον, ἢ νῦν ὁ παρὼν
other virtues bore-witness more-brilliantly than now the present
περὶ αὐτῆς λόγος δηλοῦν ἐπιχειρεῖ καὶ ἐκδιδάσκειν τοὺς
about her speech to-show attempts and to-teach those
πάλαι διὰ τῶν ἔργων ἐγνωκότας. οὐ μὴν ἐπειδὴ ἐκεῖνο
long-ago through the deeds having-known not indeed since that
δυσχερές, μᾶλλον δὲ ἀδύνατον ἐφάνη, παντελῶς ἄξιον ὑπὲρ
hard rather but impossible appeared wholly worthy about
ἁπάντων ἀποσιωπῆσαι, πειρᾶσθαι δὲ εἰς δύναμιν φράζειν
all-things to-keep-silent to-try but as-far-as power to-tell
ὑπὲρ αὐτῶν καὶ τῆς μὲν φρονήσεως ποιεῖσθαι σημεῖον καὶ
about them and of-the indeed wisdom to-make sign and

τῆς ἄλλης ἀρετῆς πάσης, ὅτι τὸν γήμαντα διέθηκεν οὕτω
of-the other virtue all that the(-one) having-married she-disposed so
περὶ αὑτήν, ὥσπερ οὖν ἄξιον γυναῖκα καλὴν καὶ γενναίαν.
toward herself as then worthy woman fair and noble
Ὥστε ἔγωγε τῆς Πηνελόπης πολλὰ καὶ ἄλλα νομίσας
so I-at-least — of-Penelope many-things also others having-thought
ἐπαίνων ἄξια τοῦτο ἐν τοῖς μάλιστα θαυμάζω, ὅτι δὴ
of-praises worthy this among the most admire that indeed
τὸν ἄνδρα λίαν ἔπειθε στέργειν καὶ ἀγαπᾶν αὑτὴν
the husband greatly she-persuaded to-cherish and to-love herself
ὑπερορῶντα μέν, ὡς φασί, δαιμονίων γάμων, ἀτιμάζοντα
disdaining indeed as they-say divine marriages dishonoring
δὲ οὐ μεῖον τὴν τῶν Φαιάκων ξυγγένειαν. Καίτοι γε
but not less the of-the Phaeacians kinship and-yet indeed
εἶχον αὐτοῦ πᾶσαι ἐρωτικῶς, Καλυψὼ καὶ Κίρκη καὶ
they-were for-him all amorously Calypso and Circe and
Ναυσικάα· καὶ ἦν αὐταῖς τὰ βασίλεια πάγκαλα, κήπων
Nausicaa and were to-them the palaces all-beautiful of-gardens
τινῶν καὶ παραδείσων ἐν αὐτοῖς πεφυτευμένων μάλα
some and parks in them planted very
ἀμφιλαφέσι καὶ κατασκίοις τοῖς δένδρεσι, λειμῶνές τε
with-wide-spreading and shady the trees meadows both
ἄνθεσι ποικίλοις καὶ μαλακῇ τῇ πόᾳ βρύοντες·
with-flowers many-colored and soft with-the grass teeming

Κρῆναι δ' ἐξείης πίσυρες ῥέον ὕδατι λευκῷ·
fountains and in-a-row four flowed with-water white

καὶ ἐτεθήλει περὶ τὴν οἰκίαν ἡμερὶς ἡβώωσα σταφυλῆς
and had-flourished about the house vine youthful of-grape
οἶμαι τῆς γενναίας, βριθομένη τοῖς βότρυσι· καὶ παρὰ
I-think the noble laden with-the clusters and among

τοῖς Φαίαξιν ἕτερα τοιαῦτα, πλὴν ὅσῳ πολυτελέστερα,
the Phaeacians other such except by-how-much more-costly
ἅτε οἶμαι ποιητὰ ξὺν τέχνῃ, τῆς τῶν αὐτοφυῶν
inasmuch-as I-think made with art of-the of-the self-grown
ἔλαττον μετεῖχε χάριτος καὶ ἧττον εἶναι ἐδόκει ἐκείνων
less shared grace and less to-be seemed than-those
ἐράσμια. τῆς τρυφῆς δὲ αὖ καὶ τοῦ πλούτου καὶ προσέτι
lovely by-the luxury but again and of-the wealth and besides
τῆς περὶ τὰς νήσους ἐκείνας εἰρήνης καὶ ἡσυχίας τίνα οὐκ
of-the about the islands those peace and quiet whom not
ἂν ἡττηθῆναι δοκεῖτε τοσούτους ἀνατλάντα πόνους καὶ
— *to-have-been-overcome do-you-think so-many having-endured toils and*
κινδύνους καὶ ἔτι ὑφορώμενον δεινότερα πείσεσθαι,
dangers and still suspecting more-terrible-things to-be-going-to-suffer
τὰ μὲν ἐν θαλάττῃ τὰ δὲ ἐπὶ τῆς οἰκίας αὐτῆς, πρὸς
the-things indeed in sea the-things but at the house itself against
ἑκατὸν νεανίσκους ἡβῶντας εὖ μάλα μόνον ἀγωνίζεσθαι
hundred youths in-their-prime well very alone to-contend
μέλλοντα, ὅπερ οὐδὲ ἐν Τροίᾳ ἐκείνῳ ποτὲ συνηνέχθη;
going which-very not-even in Troy to-him ever happened
εἴ τις οὖν ἔροιτο τὸν Ὀδυσσέα παίζων ὧδέ πως· τί
if anyone then should-ask — Odysseus jesting thus somehow why
ποτε, ὦ σοφώτατε ῥῆτορ ἢ στρατηγὲ ἢ ὅ τι χρή
ever O wisest orator or general or what thing is-it-needful
σε ὀνομάζειν, τοσούτους ἑκὼν ὑπέμεινας πόνους, ἐξὸν
you to-name so-many willingly did-you-endure toils it-being-possible
εἶναι ὄλβιον καὶ εὐδαίμονα, τυχὸν δὲ καὶ ἀθάνατον εἴ
to-be blessed and happy perhaps and even immortal if
τι χρὴ ταῖς ἐπαγγελίαις Καλυψοῦς πιστεύειν, σὺ δὲ
at-all it-is-needful the promises of-Calypso to-believe you but
ἑλόμενος τὰ χείρω πρὸ τῶν βελτιόνων τοσούτους σαυτῷ
having-chosen the worse before the better so-many on-yourself

προστέθεικας πόνους, οὐδὲ ἐν τῇ Σχερίᾳ καταμεῖναι
have-laid toils not-even in — Scheria to-remain
ἐθελήσας, ἐξὸν ἐκεῖ που παυσάμενον τῆς πλάνης
having-wished it-being-possible there somewhere having-ceased from-the wandering
καὶ τῶν κινδύνων ἀπηλλάχθαι· σὺ δὲ ἡμῖν ἐπὶ τῆς οἰκίας
and of-the dangers to-have-been-freed you but for-us at the house
ἔγνως στρατεύεσθαι καὶ ἄθλους δή τινας καὶ ἀποδημίαν
resolved to-campaign and labors indeed some and journey
ἑτέραν ἐκτελεῖν οὔτι τῆς πρόσθεν, ὥς γε τὸ εἰκὸς
other to-accomplish not-at-all than-the former as indeed the likely
ἀπονωτέραν οὐδὲ κουφοτέραν. τί δὴ οὖν οἴεσθε πρὸς
less-toilsome nor lighter what indeed then do-you-think to
ταῦτα ἐκεῖνον εἰπεῖν ἔχειν; ἆρ᾽ οὐχ ὅτι τῇ Πηνελόπῃ
these-things him to-say to-have then not that — with-Penelope
συνεῖναι ἐθέλων τοὺς ἄθλους αὐτῇ καὶ τὰς στρατείας
to-be-with wishing the labors to-her and the campaigns
χαρίεντα διηγήματα φέρειν ὑπέλαβε; ταῦτά τοι καὶ τὴν
charming tales to-bring he-supposed these-things you-know also the
μητέρα πεποίηκεν αὐτῷ παραινοῦσαν μεμνῆσθαι πάντων,
mother he-has-made to-him advising to-remember all
ὧν τε εἶδε θεαμάτων καὶ ὧν ἤκουσεν ἀκουσμάτων,
of-which both he-saw sights and of-which he-heard hearings

ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικί,
so-that also hereafter to-your you-may-tell wife

φησίν. ὁ δὲ οὐδενὸς ἐπιλαθόμενος, ἐπειδὴ πρῶτον ἀφίκετο
he-says he but nothing having-forgotten when first he-arrived
καὶ τῶν μειρακίων τῶν ἐπὶ τὰ βασίλεια κωμαζόντων
and over-the youths those at the palace reveling
ἐκράτει ξὺν δίκῃ, πάντα ἀθρόως αὐτῇ διηγεῖτο, ὅσα τε
overcame with justice all-things at-once to-her narrated as-many-as both

ἔδρασε καὶ ὅσα ἀνέτλη, καὶ εἰ δή τι ἄλλο ὑπὸ
he-did and as-many-as he-endured and if indeed anything other by
τῶν χρησμῶν ἀναπειθόμενος ἐκτελεῖν διενοεῖτο· ἀπόρρητον
the oracles being-persuaded to-accomplish he-intended secret
δὲ ἐποιεῖτο πρὸς αὐτὴν οὐδὲ ἕν, ἀλλ' ἠξίου
but he-made toward her not-even one-thing but he-deemed-fit
κοινωνὸν γίγνεσθαι τῶν βουλευμάτων καὶ ὅ τι πρακτέον
partner to-become of-the plans and what thing one-must-do
εἴη συννοεῖν καὶ συνεξευρίσκειν. ἆρα τοῦτο ὑμῖν τῆς
might-be to-consider-with and to-discover-with then this to-you —
Πηνελόπης ὀλίγον ἐγκώμιον δοκεῖ, ἢ ἤδη τις ἄλλη τὴν
of-Penelope small encomium seems or already any other the
ἐκείνης ἀρετὴν ὑπερβαλλομένη γαμετή τε οὖσα βασιλέως
her virtue surpassing wife both being of-king
ἀνδρείου καὶ μεγαλοψύχου καὶ σώφρονος τοσαύτην εὔνοιαν
brave and magnanimous and temperate so-great goodwill
ἐνεποίησεν αὑτῆς τῷ γήμαντι, συγκερασαμένη τῇ
produced of-herself in-the(-one) having-married having-blended with-the
παρὰ τῶν ἐρώτων ἐπιπνεομένῃ φιλίᾳ τὴν ἐκ τῆς ἀρετῆς
from the loves inspired friendship the from the virtue
καθάπερ ῥεῦμα θεῖον ἐπιφερομένην ταῖς ἀγαθαῖς καὶ
like stream divine borne-upon the good and
γενναίαις ψυχαῖς; δύο γὰρ δὴ τώδε τινὲ πίθω φιλίας
noble souls two for indeed these-two certain jars of-friendship
ἔστον, ὧν ἥδε κατ' ἴσον ἀρυσαμένη βουλευμάτων τε
are from-which she by equal having-drawn of-plans both
αὐτῷ γέγονε κοινωνὸς καὶ πρᾷον ὄντα φύσει τὸν βασιλέα
to-him has-become partner and gentle being by-nature the king
καὶ χρηστὸν καὶ εὐγνώμονα πρὸς ἃ πέφυκε
and good and considerate to what he-is-naturally-inclined
παρακαλεῖ μᾶλλον πρεπόντως καὶ πρὸς συγγνώμην τὴν
urges rather fittingly and toward pardon the

δίκην τρέπει. ὥστε οὐκ ἄν τις εἰπεῖν ἔχοι, ὅτῳ γέγονεν
justice turns so-that not — anyone to-say could for-whom has-been
ἡ βασιλὶς ἥδε ἐν δίκῃ τυχὸν ἢ καὶ παρὰ δίκην αἰτία
the queen this in justice perhaps or even against justice cause
τιμωρίας καὶ κολάσεως μικρᾶς ἢ μείζονος.
of-punishment and chastisement small or greater

IV · HER KINDNESS TO JULIAN

Like Athena's vote at Athens, she pleads for a defendant who has come close to acquittal, and Constantius grants it gladly. She has harmed no one and done good to countless people, whom Julian will not name. She advanced her kinsmen and honored her family's guest-friends and her father's friends. Julian, under oath, gives his own testimony, as Darius repaid the Samian's cloak: Constantius saved him in childhood and restored his house, but suspicion arose, and she had it examined, brought Julian before the emperor, rejoiced at his acquittal, and secured his safe return home, then won him leave to visit Greece, whose philosophy survives as the Nile's springs survive the fire.

Ἀθήνησι μὲν οὖν φασιν, ὅτε τοῖς πατρίοις ἔθεσιν ἐχρῶντο 9
at-Athens indeed then they-say when the ancestral customs they-used
καὶ ἔζων τοῖς οἰκείοις πειθόμενοι νόμοις μεγάλην καὶ
and lived the own obeying laws great and
πολυάνθρωπον οἰκοῦντες πόλιν, εἴ ποτε τῶν δικαζόντων
populous inhabiting city if ever of-those judging
αἱ ψῆφοι κατ᾽ ἴσον γένοιντο τοῖς φεύγουσι πρὸς τοὺς
the votes by equal should-be for-those defending against those
διώκοντας, τὴν τῆς Ἀθηνᾶς ἐπιτιθεμένην τῷ τὴν
prosecuting the — of-Athena being-added to-the(-one) the
δίκην ὀφλήσειν μέλλοντι ἀπολύειν ἄμφω τῆς αἰτίας,
case to-lose about-to to-acquit both of-the charge
τὸν μὲν ἐπάγοντα τὴν κατηγορίαν τοῦ δοκεῖν εἶναι
the(-one) indeed bringing the accusation of-the to-seem to-be

συκοφάντην, τὸν δέ, ὡς εἰκός, τοῦ δοκεῖν ἔνοχον εἶναι
informer the(-other) but as likely of-the to-seem liable to-be
τῷ πονηρεύματι. τοῦτον δὴ φιλάνθρωπον ὄντα καὶ
to-the knavery this indeed humane being and
χαρίεντα τὸν νόμον ἐπὶ τῶν δικῶν, ἃς βασιλεὺς κρίνει,
gracious the law in the trials which king judges
σωζόμενον πραότερον αὕτη καθίστησιν. οὗ γὰρ ἂν ὁ
preserved more-gently she establishes where for — the
φεύγων παρ᾽ ὀλίγον ἔλθῃ τὴν ἴσην ἐν ταῖς ψήφοις
defendant by little may-come the equal in the votes
λαχεῖν, πείθει, τὴν ὑπὲρ αὐτοῦ δέησιν προσθεῖσα καὶ
to-obtain she-persuades the for him entreaty having-added and
ἱκετηρίαν, ἀφεῖναι πάντως τῆς αἰτίας. ὁ δὲ ἑκὼν ἑκόντι
supplication to-release wholly from-the charge he but willingly with-willing
τῷ θυμῷ χαρίζεται τὰ τοιαῦτα, καὶ οὐ, καθάπερ Ὅμηρός
the spirit grants the such-things and not as Homer
φησι τὸν Δία ἐκβιαζόμενον παρὰ τῆς γαμετῆς ὁμολογεῖν
says — Zeus being-forced by the wife to-agree
ὅ τι ξυγχωροίη, δίδωσιν ἑκὼν ἀέκοντί γε θυμῷ.
what thing he-may-concede he-gives willingly with-unwilling indeed spirit
καὶ τυχὸν οὐκ ἄτοπον χαλεπῶς καὶ μόλις τὰ τοιαῦτα
and perhaps not out-of-place hardly and with-difficulty the such-things
ξυγχωρεῖν κατὰ ἀνδρῶν ὑβριστῶν καὶ ἀλαζόνων. ἀλλ᾽
to-concede against men insolent and boastful but
οὐδὲ γὰρ εἰ σφόδρα ἐπιτήδειοί τινές εἰσι πάσχειν κακῶς
not-even for if very fit some are to-suffer badly
καὶ κολάζεσθαι, τούτους ἐκ παντὸς ἀπολέσθαι χρεών·
and to-be-punished these from every-way to-perish it-is-needful
ὃ δὴ καὶ ἡ βασιλὶς ἥδε ξυννοοῦσα κακὸν μὲν οὐδὲν
which indeed also the queen this understanding evil indeed nothing
ἐκέλευσεν οὔτε ἄλλο ποτε οὔτε κόλασιν οὔτε τιμωρίαν
ordered neither other ever nor punishment nor penalty

ἐπαγαγεῖν οὐχ ὅπως βασιλείᾳ τινὸς ἢ πόλει, ἀλλ' οὐδὲ
to-bring not to-speak-of on-kingship of-anyone or on-city but not-even
οἰκίᾳ μιᾷ τῶν πολιτῶν. προσθείην δ' ἂν ἔγωγε θαρρῶν
on-house one of-the citizens I-would-add and — I-at-least taking-courage
εὖ μάλα, ὅτι μηδὲν ψεῦδός φημι, ὡς οὐδὲ ἐφ' ἑνὸς
well very that nothing false I-say that not-even in-the-case-of one
ἀνδρὸς ἢ γυναικὸς μιᾶς ἔστιν αὐτὴν αἰτιᾶσθαι ξυμφορᾶς
man or woman one it-is-possible her to-blame of-misfortune
τῳ τῆς τυχούσης, ἀγαθὰ δὲ ὅσα καὶ οὕστινας δρᾷ
to-anyone the chancing goods but as-many-as and to-whom she-does
καὶ ἔδρασεν, ἡδέως ἂν ὑμῖν τὰ πλεῖστα ἐξαριθμησαίμην
and did gladly — to-you the most I-would-enumerate
καθ' ἕκαστα ἀπαγγέλλων, ὡς ὅδε μὲν τὸν πατρῷον δι'
in particular reporting that this-one indeed the father's through
ἐκείνην νέμεται κλῆρον, ἐκεῖνος δὲ ἀπηλλάγη τιμωρίας,
her occupies estate that-one but was-freed of-punishment
ὀφλήσας τοῖς νόμοις, ἄλλος συκοφαντίαν διέφυγε, παρ'
having-been-condemned by-the laws another false-accusation escaped by
ὀλίγον ἐλθὼν κινδύνου, τιμῆς δὲ ἔτυχον καὶ ἀρχῆς μυρίοι.
little having-come of-danger of-honor and obtained and of-office countless
καὶ ταῦτα οὐκ ἔστιν ὅστις ἐμὲ ψεύδεσθαι τῶν ἁπάντων
and these-things not there-is who me to-lie of-the all
φήσει, εἰ καὶ ὀνομαστὶ τοὺς ἄνδρας μὴ καταλέγοιμι.
will-say if even by-name the men not I-should-enumerate
ἀλλ' ὀκνῶ, μή τισιν ἐξονειδίζειν δόξω τὰς συμφορὰς
but I-shrink lest to-some to-reproach I-may-seem the misfortunes
καὶ οὐκ ἔπαινον τῶν ταύτης ἀγαθῶν, κατάλογον δὲ τῶν
and not praise of-the her goods catalog but of-the
ἀλλοτρίων συγγράφειν ἀτυχημάτων. τοσούτων δὲ ἔργων
others' to-compose misfortunes of-so-many but deeds
μηδὲν παρασχέσθαι μηδὲ εἰς τὸ ἐμφανὲς ἄγειν τεκμήριον
no to-provide nor into the open to-bring proof

κενόν πως εἶναι δοκεῖ καὶ ἐς ἀπιστίαν ἄγει τὸν ἔπαινον.
empty somehow to-be seems and to disbelief leads the praise
οὐκοῦν ἐκεῖνα παραιτησάμενος, ὁπόσα γ᾽ ἐμοί τε εἰπεῖν
therefore those having-excused as-many-as indeed for-me both to-say
ἀνεπίφθονον ταύτῃ τε ἀκούειν καλὰ λέγοιμ᾽ ἂν ἤδη.
inoffensive for-her and to-hear fine-things I-would-say — now
10 Ἐπειδὴ γὰρ τὴν τοῦ γήμαντος εὔνοιαν τηλαυγέστατον
when for the of-the(-one) having-married goodwill far-shining
πρόσωπον, κατὰ τὸν σοφὸν Πίνδαρον, ἀρχομένη τῶν
face according-to the wise Pindar beginning of-the
ἔργων ἔθετο, γένος τε ἅπαν καὶ ξυγγενεῖς εὐθὺς ἐνέπλησε
deeds she-set family both whole and kinsmen at-once she-filled
τιμῆς, τοὺς μὲν ἤδη γνωρίμους καὶ πρεσβυτέρους ἐπὶ
with-honor the(-ones) indeed already known and older over
μειζόνων τάττουσα πράξεων καὶ ἀποφήνασα μακαρίους
greater appointing affairs and having-rendered blessed
καὶ ζηλωτοὺς βασιλεῖ τ᾽ ἐποίησε φίλους καὶ τῆς εὐτυχίας
and enviable to-king both made friends and of-the good-fortune
τῆς παρούσης ἔδωκε τὴν ἀρχήν. καὶ γὰρ εἴ τῳ
the present gave the beginning and for if to-anyone
δοκοῦσιν, ὥσπερ οὖν ἀληθές, δι᾽ αὑτοὺς τίμιοι, ταύτῃ
they-seem as then true through themselves honored to-her
γε οἶμαι προσθήσει τὸν ἔπαινον· δῆλον γὰρ ὅτι μὴ
indeed I-think he-will-add the praise evident for that not
τῇ τοῦ γένους κοινωνίᾳ μόνον, πολὺ δὲ πλέον ἀρετῇ
by-the of-the family partnership only much but more by-virtue
φαίνεται νέμουσα· οὗ μεῖζον οὐκ οἶδα ὅπως τις
she-appears distributing than-which greater not I-know how anyone
ἐγκώμιον ἐρεῖ. περὶ μὲν τούσδε γέγονε τοιάδε. ὅσοι δὲ
encomium will-tell about indeed these happened such-things as-many-as but
ἀγνῶτες ἔτι διὰ νεότητα τοῦ γνωρισθῆναι καὶ ὁπωσοῦν
unknown still because-of youth of-the to-be-made-known and in-any-way

ἐδέοντο, τούτοις ἐλάττονας διένειμε τιμάς. ἀπέλιπε δὲ
needed to-these lesser she-distributed honors left but
οὐδὲν εὐεργετοῦσα ξύμπαντας. καὶ οὐ τοὺς ξυγγενεῖς μόνον
nothing benefiting all and not the kinsmen only
τοσαῦτα ἔδρασεν ἀγαθά, ξενίαν δὲ ὅτῳ πρὸς τοὺς
so-many she-did goods guest-friendship but to-whomever with the
ἐκείνης πατέρας ὑπάρξασαν ἔγνω, οὐκ ἀνόνητον ἀφῆκε
her fathers having-existed she-knew not unprofitable she-left
τοῖς κτησαμένοις, τιμᾷ δὲ οἶμαι καὶ τούτους καθάπερ
to-those having-acquired-it she-honors and I-think also these like
ξυγγενεῖς, καὶ ὅσους τοῦ πατρὸς ἐνόμισε φίλους, ἅπασιν
kinsmen and as-many-as of-the father she-thought friends to-all
ἔνειμε τῆς φιλίας ἔπαθλα θαυμαστά.
she-distributed of-the friendship prizes wonderful
Ἐγὼ δέ, ἐπειδή μοι τεκμηρίων καθάπερ ἐν δικαστηρίῳ 11
I but since for-me of-proofs as in law-court
τὸν λόγον ὁρῶ δεόμενον, αὐτὸς ὑμῖν ἐμαυτὸν τούτων
the speech I-see needing myself to-you myself of-these
ἐκείνῳ μάρτυρα καὶ ἐπαινέτην παρέξομαι· ἀλλ᾽ ὅπως μου
to-it witness and praiser I-shall-provide but so-that my
μή ποτε ὑπιδόμενοι τὴν μαρτυρίαν πρὶν ἐπακοῦσαι τῶν
not ever having-suspected the testimony before to-hear the
λόγων διαταράττησθε, ὄμνυμι ὑμῖν, ὡς οὐδὲν ψεῦδος οὐδὲ
words you-may-be-disturbed I-swear to-you that nothing false nor
πλάσμα ἐρῶ· ὑμεῖς δὲ κἂν ἀνωμότῳ ἐπιστεύσατε
fiction I-shall-say you but even unsworn you-would-have-believed
πάντα οὐ κολακείας ἕνεκα λέγειν. ἔχω γὰρ ἤδη τοῦ
all-things not of-flattery for-the-sake to-say I-have for already the
θεοῦ διδόντος καὶ τοῦ βασιλέως ἅπαντα τὰ ἀγαθά,
god giving and the king all the goods
αὐτῆς γε οἶμαι καὶ ταύτης ζυμπροθυμουμένης, ὑπὲρ ὧν
her indeed I-think also this-one being-eager-with for which

ἄν τις κολακεύων ἅπαντα ἀφείη ῥήματα, ὥστε, εἰ
— anyone flattering all might-let-loose words so-that if
μὲν πρὸ τούτων ἔλεγον, ἴσως ἐχρῆν ὀρρωδεῖν τὴν
indeed before these-things I-were-speaking perhaps it-was-needful to-dread the
ἄδικον ὑποψίαν· νῦν δὲ ἐν ταύτῃ γεγονὼς τῇ τύχῃ καὶ
unjust suspicion now but in this having-come the fortune and
ἀπομνημονεύων τῶν ἐκείνης εἰς ἐμαυτὸν ἔργων παρέξομαι
recalling the her toward myself deeds I-shall-provide
ὑμῖν εὐγνωμοσύνης μὲν ἐμαυτοῦ σημεῖον, μαρτύριον δὲ
to-you of-gratitude indeed of-myself sign testimony but
ἀληθὲς τῶν ἐκείνης ἔργων. πυνθάνομαι γὰρ δὴ καὶ
true of-the her deeds I-learn for indeed also
Δαρεῖον, ἕως ἔτι δορυφόρος ἦν τοῦ Περσῶν μονάρχου,
Darius while still bodyguard was of-the of-Persians monarch
τῷ Σαμίῳ ξένῳ περὶ τὴν Αἴγυπτον συμβαλεῖν φεύγοντι
with-the Samian stranger about — Egypt to-have-met fleeing
τὴν αὑτοῦ, καὶ λαβόντα φοινικίδα τινὰ δῶρον, οὗ σφόδρα
the his-own and having-received scarlet-cloak some gift which greatly
ἐπεθύμει, τὴν Σαμίων ὕστερον ἀντιδοῦναι τυραννίδα,
he-desired the of-Samians later to-have-given-in-return tyranny
ὁπηνίκα, οἶμαι, τῆς Ἀσίας ἁπάσης κύριος κατέστη.
when I-think — of-Asia all lord he-became
εἰ δὴ οὖν καὶ αὐτὸς πολλὰ μὲν παρ᾽ αὐτῆς, ὅτε ἔτι ζῇν
if indeed then also myself many-things indeed from her when still to-live
ἐξῆν ἐν ἡσυχίᾳ, τὰ μέγιστα δὲ δι᾽ αὐτὴν παρὰ τοῦ
it-was-possible in quiet the greatest-things but through her from the
γενναίου καὶ μεγαλόφρονος βασιλέως λαβὼν ὁμολογοίην
noble and high-minded king having-received I-should-acknowledge
τοῦ μὲν ἀντιδοῦναι τὴν ἴσην λείπεσθαι· ἔχει γάρ,
of-the indeed to-give-in-return the equal to-fall-short she-has for
οἶμαι, ξύμπαντα παρ᾽ αὐτοῦ τοῦ καὶ ἡμῖν χαρισαμένου
I-think all-things from him the(-one) also to-us having-bestowed

λαβοῦσα· τῷ βούλεσθαι δὲ τὴν μνήμην ἀθάνατον αὐτῇ
having-received in-the to-wish but the memory immortal to-her
τῶν ἔργων γενέσθαι καὶ ἐς ὑμᾶς ταῦτα ἀπαγγέλλειν
of-the deeds to-become and to you these-things to-report
τυχὸν οὐκ ἀγνωμονέστερος φανοῦμαι τοῦ Πέρσου, εἴπερ
perhaps not more-ungrateful I-shall-appear than-the Persian if-indeed
εἰς τὴν γνώμην ὁρῶντα χρὴ κρίνειν, ἀλλ᾽ οὐχ ὅτῳ
to the intention looking it-is-needful to-judge but not to-whom
παρέσχεν ἡ τύχη πολλαπλάσιον ἀποτῖσαι τὸ εὐεργέτημα.
provided the fortune many-fold to-repay the benefaction
Τί ποτε οὖν ἐγὼ τοσοῦτον εὖ παθεῖν φημι καὶ ἀνθ᾽ ὅτου
what ever then I so-much well to-have-fared say and for what
τὸν ἅπαντα χρόνον ὑπόχρεων ἐμαυτὸν εἶναι χάριτος ὁμολογῶ
the whole time indebted myself to-be of-gratitude acknowledge
τῇδε, σφόδρα ὥρμησθε ἀκούειν. ἐγὼ δὲ οὐκ ἀποκρύψομαι·
to-her greatly you-are-eager to-hear I but not shall-hide
ἐμοὶ γὰρ βασιλεὺς οὑτοσὶ σχεδὸν ἐκ παιδὸς νηπίου 12
to-me for king this-here nearly from child infant
γεγονὼς ἥπιος πᾶσαν ὑπερεβάλλετο φιλοτιμίαν, κινδύνων τε
having-been kindly every surpassed generosity from-dangers both
ἐξαρπάσας τηλικούτων, οὓς οὐδ᾽ ἂν ἡβῶν ἀνὴρ εὖ μάλα
having-snatched so-great which not-even — in-his-prime man well very
διαφύγοι, μὴ θείας τινὸς καὶ ἀμηχάνου σωτηρίας τυχών,
might-escape not divine some and impossible salvation having-obtained
εἶτα τὴν οἰκίαν καταληφθεῖσαν καθάπερ ἐπ᾽ ἐρημίας παρά
then the house seized as in desert by
του τῶν δυναστῶν ἀφείλετο ξὺν δίκῃ καὶ ἀπέφηνεν αὖθις
one of-the potentates he-took-away with justice and rendered again
πλούσιον. καὶ ἄλλα ἂν ἔχοιμι περὶ αὐτοῦ πρὸς ὑμᾶς εἰπεῖν
rich and other-things — I-could about him to you to-tell
εἰς ἐμαυτὸν ἔργα πολλῆς ἄξια χάριτος, ὑπὲρ ὧν τὸν
toward myself deeds of-much worthy gratitude for which the

ἅπαντα χρόνον εὔνουν ἐμαυτὸν ἐκείνῳ καὶ πιστὸν παρέχων
whole time well-disposed myself to-him and faithful providing
οὐκ οἶδα ἐκ τίνος αἰτίας τραχυτέρως ἔχοντος ᾐσθόμην
not I-know from what cause more-harshly being-disposed I-perceived
ἔναγχος. ἡ δὲ ἐπειδὴ τὸ πρῶτον ἤκουσεν ἀδικήματος
recently she but when the first she-heard of-wrong
μὲν οὐδενὸς ὄνομα, ματαίας δὲ ἄλλως ὑποψίας, ἠξίου
indeed no name of-vain but otherwise suspicion she-deemed-fit
διελέγχειν καὶ μὴ πρότερον προσέσθαι μηδὲ ἐνδέξασθαι
to-examine and not before to-admit nor to-accept
ψευδῆ καὶ ἄδικον διαβολήν, καὶ οὐκ ἀνῆκε ταῦτα δεομένη
false and unjust slander and not she-ceased these-things begging
πρὶν ἐμὲ ἤγαγεν ἐς ὄψιν τὴν βασιλέως καὶ τυχεῖν ἐποίησε
before me she-brought into sight the of-king and to-obtain made
λόγου· καὶ ἀπολυομένῳ πᾶσαν αἰτίαν ἄδικον συνήσθη,
audience and being-acquitted of-every charge unjust rejoiced-with
καὶ οἴκαδε ἐπιθυμοῦντι πάλιν ἀπιέναι πομπὴν ἀσφαλῆ
and home desiring again to-go-away escort safe
παρέσχεν, ἐπιτρέψαι πρῶτον τὸν βασιλέα ξυμπείσασα.
provided to-allow first the king having-persuaded
δαίμονος δέ, ὅσπερ οὖν ἐῴκει μοι τὰ πρόσθεν
of-spirit but which-very then seemed to-me the before-things
μηχανήσασθαι, ἤ τινος ξυντυχίας ἀλλοκότου τὴν ὁδὸν ταύτην
to-have-contrived or of-some chance strange the road this
ὑποτεμομένης, ἐποψόμενον πέμπει τὴν Ἑλλάδα, ταύτην
cutting-off going-to-see she-sends — Greece this
αἰτήσασα παρὰ βασιλέως ὑπὲρ ἐμοῦ καὶ ἀποδημοῦντος ἤδη
having-asked from king for me and being-away already
τὴν χάριν, ἐπειδή με λόγοις ἐπέπυστο χαίρειν καὶ παιδείᾳ
the favor since me in-letters she-had-learned to-rejoice and in-education
τὸ χωρίον ἐπιτήδειον εἶναι ξυννοοῦσα. ἐγὼ δὲ τότε μὲν
the place suitable to-be understanding I but then indeed

αὐτῇ καὶ πρώτῳ γε, ὡς εἰκός, βασιλεῖ πολλὰ καὶ ἀγαθὰ
to-her and first indeed as likely to-king many and good-things
διδόναι τὸν θεὸν ηὐχόμην, ὅτι μοι τὴν ἀληθινὴν ποθοῦντι καὶ
to-give the god prayed that to-me the true longing and
ἀγαπῶντι πατρίδα παρέσχον ἰδεῖν· ἐσμὲν γὰρ τῆς Ἑλλάδος
loving fatherland they-provided to-see we-are for — of-Greece
οἱ περὶ τὴν Θρᾴκην καὶ τὴν Ἰωνίαν οἰκοῦντες ἔγγονοι,
those about — Thrace and — Ionia dwelling descendants
καὶ ὅστις ἡμῶν μὴ λίαν ἀγνώμων, ποθεῖ προσειπεῖν τοὺς
and whoever of-us not very ungrateful longs to-address the
πατέρας καὶ τὴν χώραν αὐτὴν ἀσπάσασθαι. ὃ δὴ καὶ ἐμοὶ
fathers and the country itself to-embrace which indeed also to-me
πάλαι μὲν ἦν, ὡς εἰκός, ποθεινόν, καὶ ὑπάρξαι μοι τοῦτο
long-ago indeed was as likely longed-for and to-be-granted to-me this
ἐβουλόμην μᾶλλον ἢ πολὺ χρυσίον καὶ ἀργύριον. ἀνδρῶν
I-wished rather than much gold and silver of-men
γὰρ ἀγαθῶν φημι ξυντυχίαν πρὸς χρυσίου πλῆθος ὁσονδηοῦν
for good I-say meeting against of-gold multitude however-much
ἐξεταζομένην καθέλκειν τὸν ζυγὸν καὶ οὐκ ἐπιτρέπειν τῷ
being-weighed to-pull-down the balance and not to-allow to-the
σώφρονι κριτῇ οὐδὲ ἐπ᾽ ὀλίγον ῥοπῆς ἐπιστῆσαι.
temperate judge not-even for little of-inclination to-stand
Παιδείας δὲ ἕνεκα καὶ φιλοσοφίας πέπονθεν οἶμαι νῦν
of-education and for-the-sake and of-philosophy has-suffered I-think now
τὰ τῆς Ἑλλάδος παραπλήσιόν τι τοῖς Αἰγυπτίοις
the-things — of-Greece similar something to-the Egyptian
μυθολογήμασι καὶ λόγοις. λέγουσι γὰρ δὴ καὶ Αἰγύπτιοι
myths and stories say for indeed also Egyptians
τὸν Νεῖλον παρ᾽ αὐτοῖς εἶναι τά τ᾽ ἄλλα σωτῆρα καὶ
— Nile among them to-be the both other-things savior and
εὐεργέτην τῆς χώρας καὶ ἀπείργειν αὐτοῖς τὴν ὑπὸ τοῦ
benefactor of-the country and to-ward-off from-them the by the

πυρὸς φθοράν, ὁπόταν ἥλιος διὰ μακρῶν τινων περιόδων
fire destruction whenever sun through long some cycles
ἄστροις γενναίοις συνελθὼν ἢ συγγενόμενος ἐμπλήσῃ
with-stars noble having-come-together or having-been-joined fills
τὸν ἀέρα πυρὸς καὶ ἐπιφλέγῃ τὰ σύμπαντα. οὐ γὰρ ἰσχύει,
the air with-fire and sets-ablaze the all-things not for is-able
φασίν, ἀφανίσαι οὐδὲ ἐξαναλῶσαι τοῦ Νείλου τὰς πηγάς.
they-say to-make-vanish nor to-consume — of-Nile the springs
οὔκουν οὐδὲ ἐξ Ἑλλήνων παντελῶς οἴχεται φιλοσοφία, οὐδὲ
not-then not-even from Greeks wholly is-gone philosophy nor
ἐπέλιπε τὰς Ἀθήνας οὐδὲ τὴν Σπάρτην οὐδὲ τὴν Κόρινθον·
has-it-left — Athens nor — Sparta nor — Corinth
ἥκιστα δέ ἐστι τούτων τῶν πηγῶν ἔκητι τὸ Ἄργος
least but is of-these the springs by-reason-of — Argos
πολυδίψιον· πολλαὶ μὲν γὰρ ἐν αὐτῷ τῷ ἄστει, πολλαὶ δὲ
very-thirsty many indeed for in itself the town many and
καὶ πρὸ τοῦ ἄστεος περὶ τὸν παλαιὸν ἐκεῖνον Μάσητα· τὴν
also before the town about the old that Mases —
Πειρήνην δὲ αὐτὴν ὁ Σικυὼν ἔχει καὶ οὐχ ἡ Κόρινθος.
Peirene and itself — Sicyon has and not — Corinth
τῶν Ἀθηνῶν δὲ πολλὰ μὲν καὶ καθαρὰ καὶ ἐπιχώρια τὰ
— of-Athens but many indeed both pure and native the
νάματα, πολλὰ δὲ ἔξωθεν ἐπιρρεῖ καὶ ἐπιφέρεται τίμια
streams many and from-outside flow-in and are-brought honored
τῶν ἔνδον οὐ μεῖον· οἱ δὲ ἀγαπῶσι καὶ στέργουσι,
than-the-ones inside not less they but love and cherish
πλουτεῖν ἐθέλοντες οὗ μόνου σχεδὸν ὁ πλοῦτος ζηλωτόν.
to-be-rich wishing of-which alone nearly the wealth enviable

Julian defends his digression: he praises Greece because Eusebia, honoring the name of philosophy, kept the emperor's goodwill toward him. When the emperor summoned him from Greece and settled his decision on him, she encouraged him not to refuse. Troubled by the unfamiliar pomp, not dazzled by it, he felt like a novice set in a great charioteer's robe over his unruly team: a man of sense fears to wreck the chariot. At last the emperor bade him greet her; he saw her like a statue of temperance in a temple, and she said that he had some things from them already and would have more, if he proved faithful and just.

Ἡμεῖς δὲ τί ποτε ἄρα πεπόνθαμεν; καὶ τίνα νῦν περαίνειν 13
we but what ever then have-we-suffered and what now to-complete
διανοούμεθα λόγον, εἰ μὴ τῆς φίλης Ἑλλάδος ἔπαινον,
do-we-intend speech if not of-the dear Greece praise
ἧς οὐκ ἔστι μνησθέντα μὴ πάντα θαυμάζειν;
of-which not it-is-possible having-made-mention not all-things to-admire
ἀλλ' οὐ φήσει τις τυχὸν ὑπομνησθεὶς τῶν ἔμπροσθεν
but not will-say someone perhaps having-been-reminded of-the former-things
ταῦτα ἐθέλειν ἡμᾶς ἐξ ἀρχῆς διελθεῖν, καθάπερ δὲ τοὺς
these-things to-wish us from beginning to-go-through as and the
Κορυβαντιῶντας ὑπὸ τῶν αὐλῶν ἐπεγειρομένους χορεύειν
Corybants by the pipes roused to-dance
καὶ πηδᾶν οὐδενὶ ξὺν λόγῳ, καὶ ἡμᾶς ὑπὸ τῆς μνήμης
and to-leap no with reason also us by the memory
τῶν παιδικῶν ἀνακινηθέντας ᾄσαι τῆς χώρας καὶ τῶν
of-the childhood-things stirred-up to-have-sung of-the country and of-the
ἀνδρῶν ἐγκώμιον. πρὸς δὴ τοῦτον ἀπολογεῖσθαι χρεὼν
men encomium to indeed this-one to-defend-oneself it-is-needful
ὧδέ πως λέγοντα· ὦ δαιμόνιε, καὶ τέχνης ἀληθῶς
thus somehow saying O wonderful-man and of-art truly
γενναίας ἡγεμών, σοφὸν μὲν χρῆμα ἐπινοεῖς, οὐκ ἐφιεὶς
noble leader wise indeed thing you-devise not permitting

οὐδὲ ἐπιτρέπων τῶν ἐπαινουμένων οὐδὲ ἐπὶ σμικρὸν
nor allowing from-the-things being-praised not-even for little
μεθίεσθαι, ἅτε αὐτὸς οἶμαι ξὺν τέχνῃ τοῦτο δρῶν. ἡμῖν
to-let-go inasmuch-as yourself I-think with art this doing for-us
δὲ τὸν ἔρωτα τοῦτον, ὃν σὺ φὴς αἴτιον εἶναι τῆς ἐν τοῖς
but the love this which you say cause to-be of-the in the
λόγοις ἀταξίας, ἐπειδὴ προσγέγονεν, οἶμαι, παρακελεύεσθαι
speeches disorder since it-has-come-upon I-think to-urge
μὴ σφόδρα ὀκνεῖν μηδὲ εὐλαβεῖσθαι τὰς αἰτίας.
not very to-shrink nor to-beware-of the charges
οὐ γὰρ ἀλλοτρίων ἁπτόμεθα λόγων δεῖξαι ἐθέλοντες,
not for others' we-touch speeches to-show wishing
ὅσων ἡμῖν ἀγαθῶν αἰτία γέγονε τιμῶσα τὸ φιλοσοφίας
of-how-many to-us goods cause she-has-become honoring the of-philosophy
ὄνομα. τοῦτο δὲ οὐκ οἶδα ὅντινά μοι τρόπον ἐπικείμενον
name this but not I-know in-what to-me way laid-on
ἀγαπήσαντι μὲν εὖ μάλα τὸ ἔργον καὶ ἐρασθέντι
having-loved indeed well very the work and having-fallen-in-love
δεινῶς τοῦ πράγματος, ἀπολειφθέντι δὲ οὐκ οἶδα ὅντινα
terribly with-the thing having-fallen-short but not I-know in-what
τρόπον ὄνομα ἐτύγχανε μόνον καὶ λόγος ἔργου στερόμενος.
way name happened-to-be only and word of-deed deprived
ἡ δὲ ἐτίμα καὶ τοὔνομα· αἰτίαν γὰρ δὴ ἄλλην οὔτε αὐτὸς
she but honored even the-name cause for indeed other neither myself
εὑρίσκω οὔτε ἄλλου του πυθέσθαι δύναμαι, δι'
I-find nor from-another anyone to-learn I-can on-account-of
ἣν οὕτω μοι πρόθυμος γέγονε βοηθὸς καὶ ἀλεξίκακος
which so to-me eager she-has-become helper and averter-of-evil
καὶ σώτειρα, τὴν τοῦ γενναίου βασιλέως εὔνοιαν ἀκέραιον
and savior the of-the noble king goodwill intact
ἡμῖν καὶ ἀσινῆ μένειν ξὺν πολλῷ πόνῳ πραγματευσαμένη,
for-us and unharmed to-remain with much toil having-managed

ἧς μεῖζον ἀγαθὸν οὔποτε ἐγώ τι τῶν ἀνθρωπίνων
than-which greater good never I anything of-the human
νομίσας ἑάλων, οὐ τὸν ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸν
having-thought was-caught not the on earth and under earth gold
ἀντάξιον οὐδ' ἀργύρου πλῆθος, ὁπόσος νῦν ἐστιν ὑπ' αὐγὰς
equal-in-value nor of-silver multitude as-much-as now is under rays
ἡλίου, καὶ εἴ ποτε ἄλλος προσγένοιτο, τῶν μεγίστων ὀρῶν
of-sun and if ever other should-be-added of-the greatest mountains
αὐταῖς, οἶμαι, πέτραις καὶ δένδρεσι μεταβαλλόντων εἰς
with-very I-think rocks and trees changing into
τήνδε τὴν φύσιν, οὐδὲ ἀρχὴν τὴν μεγίστην οὐδὲ ἄλλο τῶν
this the nature nor rule the greatest nor other of-the
πάντων οὐδέν· ἐκ μὲν γὰρ δὴ ἐκείνης ταῦτά μοι γέγονε
all nothing from indeed for indeed her these-things to-me have-come
πολλὰ καὶ ὅσα οὐδεὶς ἂν ἤλπισεν, οὐ σφόδρα πολλῶν
many and as-many-as no-one — would-have-hoped not very many-things
δεομένῳ γε οὐδὲ ἐμαυτὸν ἐλπίσι τοιαύταις τρέφοντι.
needing indeed nor myself on-hopes such nourishing
Εὔνοιαν δὲ ἀληθινὴν οὐκ ἔστι πρὸς χρυσίον ἀμείψασθαι,
goodwill but true not it-is-possible for gold to-exchange
οὐδὲ ἄν τις αὐτὴν ἐντεῦθεν πρίαιτο, θείᾳ δέ τινι καὶ
nor — anyone it from-there could-buy by-divine but some and
κρείττονι μοίρᾳ ἀνθρώπων ἀγαθῶν συμπροθυμουμένων
stronger lot of-men good being-eager-with
παραγίγνεται. ὃ δὴ καὶ ἐμοὶ παρὰ βασιλέως παιδὶ
it-comes which indeed also to-me from king as-child
μὲν ὑπῆρχε κατὰ θεόν, ὀλίγου δὲ οἴχεσθαι δεῆσαν
indeed belonged according-to god by-little but to-be-gone having-needed
ἀπεσώθη πάλιν τῆς βασιλίδος ἀμυνούσης καὶ ἀπειργούσης
was-saved again of-the queen defending and warding-off
τὰς ψευδεῖς καὶ ἀλλοκότους ὑποψίας. ἃς ἐπειδὴ παντελῶς
the false and strange suspicions which when wholly

ἐκείνη διέλυσεν, ἐναργεῖ τεκμηρίῳ τῷ βίῳ τὼμῷ χρωμένη,
she dissolved by-clear proof the life my using
καλοῦντός τε αὖθις τοῦ βασιλέως ἀπὸ τῆς Ἑλλάδος
calling both again the king from — Greece
ὑπήκουον, ἆρα ἐνταῦθα κατέλιπεν, ὡς οὐκέτι πολλῆς
I-obeyed then there did-she-abandon-me as no-longer of-much
βοηθείας, ἅτε οὐδενὸς ὄντος ἐν μέσῳ δυσχεροῦς
help inasmuch-as nothing being in middle difficult
οὐδὲ ὑπόπτου, δεόμενον; καὶ πῶς ἂν ὅσια δρῴην
nor suspect needing and how — holy-things could-I-do
οὕτως ἐναργῆ καὶ σεμνὰ σιωπῶν καὶ ἀποκρύπτων;
so clear and august-things keeping-silent and hiding
κυρουμένης τε γὰρ ἐπ᾽ ἐμοὶ τοῦ βασιλέως ταυτησὶ τῆς
being-ratified both for in me of-the king this-here the
γνώμης διαφερόντως ηὐφραίνετο καὶ συνεπήχει μουσικόν,
judgment especially she-rejoiced and echoed-with musical-thing
θαρρεῖν κελεύουσα καὶ μήτε τὸ μέγεθος δείσαντα
to-take-courage bidding and neither the greatness having-feared
τῶν διδομένων ἀρνεῖσθαι τὸ λαβεῖν, μήτε ἀγροίκῳ καὶ
of-the-things given to-refuse the to-receive nor rustic and
αὐθάδει χρησάμενον παρρησίᾳ φαύλως ἀτιμάσαι τοῦ
self-willed having-used frankness meanly to-dishonor of-the(-one)
τοσαῦτα ἐργασαμένου ἀγαθὰ τὴν ἀναγκαίαν αἴτησιν. ἐγὼ
so-many having-done goods the necessary request I
δὲ ὑπήκουον οὔτι τοῦτό γε ἡδέως σφόδρα ὑπομένων,
but obeyed not-at-all this indeed gladly very enduring
ἄλλως δὲ ἀπειθεῖν χαλεπὸν ὂν σφόδρα ἠπιστάμην. οἷς
otherwise but to-disobey hard being very I-knew for-whom
γὰρ ἂν ἐξῇ πράττειν ὅ τι ἂν ἐθέλωσι σὺν βίᾳ,
for — it-be-possible to-do what thing — they-wish with force
ἦ που δεόμενοι δυσωπεῖν καὶ πείθειν ἀρκοῦσιν.
surely I-suppose begging to-shame and to-persuade suffice

οὐκοῦν ἐπειδή μοι πεισθέντι γέγονε καὶ μεταβαλόντι 14
therefore since to-me having-been-persuaded it-happened and having-changed
ἐσθῆτα καὶ θεραπείαν καὶ διατριβὰς τὰς συνήθεις καὶ
dress and attendance and pursuits the customary and
τὴν οἴκησιν δὲ αὐτὴν καὶ δίαιταν πάντα ὄγκου πλέα καὶ
the dwelling and itself and way-of-life all-things of-pomp full and
σεμνότητος ἐκ μικρῶν, ὡς εἰκός, καὶ φαύλων τῶν πρόσθεν,
of-dignity from small as likely and mean the former
ἐμοὶ μὲν ὑπὸ ἀηθείας ἡ ψυχὴ διεταράττετο, οὔτι
to-me indeed by unaccustomedness the soul was-troubled not-at-all
τὸ μέγεθος ἐκπληττομένῳ τῶν παρόντων ἀγαθῶν· σχεδὸν
the greatness being-amazed-at of-the present goods nearly
γὰρ ὑπὸ ἀμαθίας οὐδὲ μεγάλα ταῦτα ἐνόμιζον, ἀλλὰ
for by ignorance not-even great these-things I-thought but
δυνάμεις τινὰς χρωμένοις μὲν ὀρθῶς σφόδρα ὠφελίμους,
powers some for-those-using indeed rightly very beneficial
ἁμαρτάνουσι δὲ περὶ τὴν χρῆσιν βλαβερὰς καὶ οἴκοις καὶ
for-those-erring but about the use harmful and to-houses and
πόλεσι πολλαῖς μυρίων αἰτίας ξυμφορῶν. παραπλήσια δὲ
to-cities many of-countless causes misfortunes similar but
ἐπεπόνθειν ἀνδρὶ σφόδρα ἀπείρως ἡνιοχικῆς ἔχοντι καὶ
I-had-suffered to-man very inexperiencedly in-charioteering being and
οὐδὲ ἐθελήσαντι ταύτης μεταλαβεῖν τῆς τέχνης, κᾆτα
not-even having-wished of-this to-take-a-share the art and-then
ἀναγκαζομένῳ καλοῦ καὶ γενναίου κομίζειν ἅρμα ἡνιόχου,
being-compelled of-fine and noble to-drive chariot charioteer
πολλὰς μὲν ξυνωρίδας, πολλὰ δέ, οἶμαι, τέτρωρα τρέφοντος
many indeed pairs many but I-think teams-of-four rearing
καὶ ἅπασι μὲν ἐπιβεβηκότος, διὰ δὲ γενναιότητα φύσεως
and all indeed having-mounted because-of but nobility of-nature
καὶ ῥώμην ὑπερβάλλουσαν ἔχοντος οἶμαι τὰς ἡνίας πάντων
and strength surpassing holding I-think the reins of-all

ἐγκρατῶς, εἰ καὶ ἐπὶ τῆς μιᾶς ἄντυγος βαίνοι, οὐ μὴν
masterfully if even on the one chariot-rim he-should-step not indeed
ἀεί γε ἐπ᾽ αὐτῆς μένοντος, μεταφερομένου δὲ πολλάκις
always indeed on it remaining being-transferred but often
ἐνθένδε ἐκεῖσε καὶ ἀμείβοντος δίφρον ἐκ δίφρου, εἴ ποτε
from-here thither and changing seat from seat if ever
τοὺς ἵππους πονουμένους ἢ καὶ ὑβρίσαντας αἴσθοιτο,
the horses toiling or also having-been-insolent he-should-perceive
ἐν δὲ δὴ τοῖς ἅρμασι τοῖσδε κεκτημένου τέτρωρον ὑπὸ
in but indeed the chariots these possessing team-of-four by
ἀμαθίας καὶ θράσους ὑβρίζον, πιεζόμενον τῇ συνεχεῖ
ignorance and boldness insolent being-pressed by-the continual
ταλαιπωρίᾳ καὶ τοῦ θράσους οὐδέν τι μᾶλλον ἐπιλαθόμενον,
hardship and of-the boldness nothing any more having-forgotten
ἀγριαῖνον δὲ ἀεὶ καὶ παροξυνόμενον ὑπὸ τῶν συμφορῶν
growing-savage but always and provoked by the misfortunes
ἐπὶ τὸ μᾶλλον ὑβρίζειν καὶ ἀπειθεῖν καὶ ἀντιτείνειν,
to the more to-be-insolent and to-disobey and to-pull-against
οὐ δεχόμενον ἀμῶς γέ πη πορεύεσθαι, ἀλλ᾽ εἰ μὴ
not accepting in-any-way indeed somehow to-go but if not
καὶ αὐτὸν ὁρᾴη τὸν ἡνίοχον διὰ τέλους χαλεπαῖνον
also himself it-should-see the charioteer through end being-angry
ἤ, τό γε ἔλαττον, στολὴν γοῦν ἡνιοχικὴν ἄνθρωπον
or the indeed less robe at-least charioteer's man
φοροῦντα· οὕτως ἐστὶν ἀλόγιστον φύσει. ὁ δέ, οἶμαι,
wearing so is irrational by-nature he but I-think
παραμυθούμενος αὐτοῦ τὴν ἄνοιαν ἄνδρα ἐπέστησε, δοὺς
consoling its the folly man set-over having-given
φορεῖν τοιαύτην ἐσθῆτα καὶ σχῆμα περιβαλὼν ἡνιόχου
to-wear such dress and figure having-put-around of-charioteer
σεμνοῦ καὶ ἐπιστήμονος, ὃς εἰ μὲν ἄφρων εἴη παντελῶς
august and skilled who if indeed senseless he-be wholly

καὶ ἀνόητος, χαίρει καὶ γέγηθε καὶ μετέωρος ὑπὸ τῶν
and foolish rejoices and is-glad and aloft by the
ἱματίων καθάπερ πτερῶν ἐπαίρεται, συνέσεως δὲ εἰ καὶ ἐπὶ
garments as by-wings is-lifted of-intelligence but if even for
σμικρὸν μετέχοι καὶ σώφρονος νοῦ, σφόδρα εὐλαβεῖται,
little he-should-share and of-temperate mind very is-wary

μήπως αὐτόν τε τρώσῃ σύν θ᾽ ἅρματα ἄξῃ,
lest-somehow himself both he-may-wound together and chariots may-break

καὶ τῷ μὲν ἡνιόχῳ ζημίας, αὐτῷ δὲ αἰσχρᾶς καὶ ἀδόξου
and to-the indeed charioteer of-loss to-himself but of-shameful and inglorious
συμφορᾶς αἴτιος γένηται. ταῦτα ἐγὼ ἐλογιζόμην ἐν νυκτὶ
misfortune cause he-may-become these-things I reckoned in night
βουλεύων καὶ δι᾽ ἡμέρας κατ᾽ ἐμαυτὸν ἐπισκοπούμενος,
deliberating and through day by myself considering
σύννους ὢν ἀεὶ καὶ σκυθρωπός. ὁ γενναῖος δὲ καὶ θεῖος
thoughtful being always and sullen the noble but and divine
ἀληθῶς αὐτοκράτωρ ἀφῄρει τι πάντως τῶν ἀλγεινῶν,
truly emperor removed something altogether of-the pains
ἔργοις καὶ λόγοις τιμῶν καὶ χαριζόμενος. τέλος δὲ τὴν
by-deeds and words honoring and bestowing finally and the
βασιλίδα προσειπεῖν κελεύει, θάρσος τε ἡμῖν ἐνδιδοὺς καὶ
queen to-address he-bids courage both to-us giving and
τοῦ σφόδρα πιστεύειν γενναῖον εὖ μάλα παρέχων γνώρισμα.
of-the greatly to-trust noble well very providing token
ἐγὼ δὲ ἐπειδὴ πρῶτον ἐς ὄψιν ἐκείνης ἦλθον, ἐδόκουν μὲν
I but when first into sight hers I-came I-seemed indeed
ὥσπερ ἐν ἱερῷ καθιδρυμένον ἄγαλμα σωφροσύνης ὁρᾶν·
as in temple set-up statue of-temperance to-see
αἰδὼς δὲ ἐπεῖχε τὴν ψυχήν, καὶ ἐπέπηκτό μοι κατὰ γῆς
shame but held the soul and were-fixed for-me on earth

τὰ ὄμματα συχνὸν ἐπιεικῶς χρόνον, ἕως ἐκείνη θαρρεῖν
the eyes long fairly time until she to-take-courage
ἐκέλευε. καὶ Τὰ μέν, ἔφη, ἤδη παρ᾽ ἡμῶν ἔχεις, τὰ
bade and the-things indeed she-said already from us you-have the-things
δὲ καὶ ἕξεις σὺν θεῷ, μόνον εἰ πιστὸς καὶ δίκαιος
and also you-will-have with god only if faithful and just
εἰς ἡμᾶς γένοιο. τοσαῦτα ἤκουσα σχεδόν· οὐδὲ
toward us you-should-become so-much I-heard nearly not-even
γὰρ αὐτὴ πλείονα ἐφθέγξατο, καὶ ταῦτα ἐπισταμένη τῶν
for she more uttered and that knowing than-the
γενναίων ῥητόρων οὐδὲ ἓν φαυλοτέρους ἀπαγγέλλειν
noble orators not-even one-whit meaner to-deliver
λόγους. ταύτης ἐγὼ τῆς ἐντεύξεως ἀπαλλαγεὶς σφόδρα
speeches from-this I the interview having-departed greatly
ἐθαύμασα καὶ ἐξεπεπλήγμην, ἐναργῶς δοκῶν ἀκηκοέναι
wondered and had-been-amazed clearly seeming to-have-heard
σωφροσύνης αὐτῆς φθεγγομένης· οὕτω πρᾷον ἦν αὐτῇ
temperance itself speaking so gentle was for-her
φθέγμα καὶ μείλιχον, ταῖς ἐμαῖς ἀκοαῖς ἐγκαθιδρυμένον.
voice and soothing in-the my hearing settled

Of her gifts Julian names one: books of philosophers, historians, orators, and poets, enough to make Gaul a Greek library. He carries some on campaign, for history gives the young the experience of age and models of character. Such a gift deserves gratitude, as a farmer repays neighbors who helped his vines, and as Thales asked only to be credited. The sophists praise the Assyrian queen who walled Babylon and other warlike queens, but Homer praised Penelope's temperance, and Pericles boasted only that no Athenian had worn black because of him. Eusebia, who can do whatever she wishes, wishes good to all. Julian passes over her splendid visit to Rome and her gifts there; others will join his praise.

Βούλεσθε οὖν τὰ μετὰ ταῦτα πάλιν ἔργα καὶ 15
do-you-wish then the-things after these-things again deeds and
ὅσα ἔδρασεν ἡμᾶς ἀγαθὰ καθ' ἕκαστον λεπτουργοῦντες
as-many-as she-did us goods in particular working-in-detail
ἀπαγγέλλωμεν; ἢ τά γε ἐντεῦθεν ἀθρόως ἑλόντες,
we-should-report or the-things indeed thenceforth at-once having-taken
καθάπερ ἔδρασεν αὐτή, πάντα ὁμοῦ διηγησώμεθα; ὁπόσους
as she-did she all-things together we-should-narrate how-many
μὲν εὖ ἐποίησε τῶν ἐμοὶ γνωρίμων, ὅπως δὲ ἐμοὶ μετὰ
indeed well she-did of-the to-me known how but for-me with
τοῦ βασιλέως τὸν γάμον ἥρμοσεν. ὑμεῖς δὲ ἴσως ποθεῖτε
the king the marriage she-arranged you but perhaps long
καὶ τὸν κατάλογον ἀκούειν τῶν δώρων,
also the catalog to-hear of-the gifts

ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα
seven untouched-by-fire tripods ten and of-gold talents

καὶ λέβητας ἐείκοσιν. ἀλλ᾽ οὔ μοι σχολὴ περὶ τῶν
and cauldrons twenty but not for-me leisure about the
τοιούτων ἀδολεσχεῖν· ἑνὸς δὲ ἴσως τῶν ἐκείνης δώρων
such-things to-chatter one but perhaps of-the her gifts
τυχὸν οὐκ ἄχαρι καὶ εἰς ὑμᾶς ἀπομνημονεῦσαι, ᾧ μοι
perhaps not ungracious also to you to-recall in-which to-me
δοκῶ καὶ αὐτὸς ἡσθῆναι διαφερόντως· βίβλους γὰρ
I-seem also myself to-have-been-pleased especially books for
φιλοσόφων καὶ ξυγγραφέων ἀγαθῶν καὶ ῥητόρων πολλῶν
of-philosophers and of-historians good and of-orators many
